Σ 1 N. 76

### ΑΚΟΛΟΥΘΙΑ ΠΛΗΡΗΣ

## ΤΟΥ ΑΓΙΟΥ ΙΕΡΟΜΑΡΤΥΡΟΣ

# ΔΙΟΝΥΣΙΟΥ ΤΟΥ ΑΡΕΟΠΑΓΙΤΟΥ

Ἀπαρτισθεῖσα χάριν τῶν Ἐπισήμως ἑορταζόντων. ψαλλομένη τὴν 3 Ὀκτωβρίου.

Ὑπὸ τοῦ ἐλαχίστου ἐν Ἱερεῦσιν Αἰδεσιμωτάτου καὶ Πνευματικοῦ Πατρός

**ΓΕΩΡΓΙΟΥ Α. ΒΟΥΤΕΡΗ**

(Ἱερέως)

*Ἐφημερίου τοῦ ἱεροῦ Ναοῦ Ὁσίου Μελετίου.*

ΓΕΝΝΑΔΕΙΟΣ ΒΙΒΛΙΟΘΗΚΗ ΣΥΛΛΟΓΗ ΝΤΟΡΗΣ ΠΑΠΑΣΤΡΑΤΟΥ

Petit 63 No 4
321

*Τοῖς Ἁγίοις τοῖς ἐν τῇ γῇ αὐτοῦ, ἐθαυμάστησεν ὁ Κύριος. Τὸν ἐρχόμενον πρός με οὐ μὴ ἐκβάλω ἔξω. Τὸ ὅπλον τοῦ Μοναχοῦ εἶναι ἡ προσευχή, καὶ ἡ Νηστεία. Ἐὰν μὴ ἀποτάξησθε πάντων τῶν τοῦ κόσμου, οὐ δύνασθαι γενέσθαι Μοναχοί.*

*Ὁ θεὸς ἀγάπη ἐστὶ καὶ ὁ μένων ἐν τῇ ἀγάπῃ, ἐν τῷ θεῷ μένει, καὶ ὁ θεὸς ἐν αὐτῷ.*

*Φόβος οὐκ ἐστὶν ἐν τῇ ἀγάπῃ, ἀλλ᾽ ἡ τελεία ἀγάπη ἔξω βάλλει τὸν φόβον, ὅτι ὁ φόβος κόλασιν ἔχει.*

*Ἡμεῖς πρέπει νὰ ἀγαπῶμεν τὸν θεόν, ὅτι ὁ Κύριος ὡς Πατὴρ ἡμῶν Οὐράνιος πρῶτος ἠγάπησεν ἡμᾶς.* *(Ἰωάννης)*

ΑΘΗΝΑΙ
1921

**Ὀκτωβρίου 2 Ἱερομάρτυρος Κυπριανοῦ καὶ Ἰουστίνης τῆς Παρθένου, καὶ Ἁγίου Θεοδώρου τοῦ Γριβᾶ.**

*Ἀπολυτίκιον Ἁγ. Κυπριανοῦ. Καὶ τρόπων μέτοχος Ἁγ. Θεοδώρου Ἦχ. Α'.*

Τῆς Χαλδεαίας ἡγεμὼν καὶ προστάτης ὑπάρχων, σὺ βλαστὸς τῶν Γαβράδων, ὑπὲρ Χριστοῦ τὸ σὸν αἷμα ἐξέχεως· μὴ πτοηθεὶς τὰς ἀπειλὰς τῶν δυσμενῶν, ἐν οὐρανοῖς νῦν ἀγάλλῃ, τῷ θρόνῳ τῆς τρισηλίου θεότητος παριστάμενος. Δόξα τῷ σὲ ἐνισχύσαντι θεῷ δόξα τῷ σὲ στεφανώσαντι Χριστῷ, δόξα τῷ σὲ δοξάσαντι θείῳ Πνεύματι Θεόδωρε πάνσοφε.

*Κοντάκιον τοῦ αὐτοῦ. Ἦχος Δ. Ὁ ὑψωθείς.*

Ὁ τῆς ἑώας στρατηγὸς ὑπερθαύμαστος, καὶ τῶν Γαβράδων βλαστὸς ὑπερμέγιστος, τῆς Τραπεζοῦντος ὁ ἄριστος πρύτανις, φρουρός, σκέπει φρούρει φύλαττε τοὺς πιστῶς σε ὑμνοῦντας, θρόνῳ παριστάμενοι τῆς Ἁγίας Τριάδος, ἣν ἐκδυσώπει σώζεσθαι ἡμᾶς Μεγαλομάρτυς Θεόδωρε Τρισόλβιε.

*Κοντάκιον Ἁγ. Κυπριανοῦ Ἦχος Α'. Χορὸς ἀγγελικός.*

Ἐκ τεχνικῆς μαγικῆς ἐπιστρέψας θεόφρων, πρὸς γνῶσιν θείαν ἀνεδείχθης τῷ κόσμῳ, ἀκέστωρ σοφώτατος, τὰς ἰάσεις δωρούμενοι, τοῖς τιμῶσί σε Κυπριανὲ σὺν Ἰουστίνῃ μεθ' ἧς πρέσβευε τῷ φιλανθρώπῳ Δεσπότῃ, σωθῆναι τοὺς δούλους σου.

*Μεγαλυνάριον.*

Ἄνθος ἐκ Χαλδαίας φυὲν τερπνόν, ἄθλοις μαρτυρίου εὐωδίασε νυκτός, τοὺς πιστοὺς ἐν Ἄτρα, Θεόδωρος ὁ θεῖος, πυρὶ τακεὶς τὰς σάρκας, Χριστοῦ τὸ ἔρωτι.

**(Βιβλίον Ἄνθη τοῦ Παραδείσου Γ. Α. Β.)**
**ἐξ Ἱεροσολύμων.**

**Τῇ 3 Ὀκτωβρίου**
**Μνήμην ἐπιτελοῦμεν τοῦ Ἁγίου Ἱερομάρτυρος Διονυσίου τοῦ Ἀρεοπαγίτου.**

*Ἑσπέρας μετὰ τὸν Προοιμιακόν : Τὸ μακάριος ἀνήρ. Τὸ Κύριε ἐκέκραξα στίχ. στ' καὶ ψάλλομεν τὰ παρόντα Προσόμοια.*

*Ἦχος Α'. Πανεύφημοι μάρτυρες.*

Ἀγκίστρῳ τῆς χάριτος σοφῶς ὁ Παῦλος ὁ ἔνθεος, δημηγορήσας Ἐζώγρησεν, ἱεροφάντορα, καὶ τῶν ἀπορρήτων θεωρῶν εἰργάσατο, σὲ σκεῦος ἐκλογῆς ἐργασάμενος· μεθ' οὗ δυσώπησον, θεόρρῆμον Διονύσιε, τοὺς σωθῆναι τοὺς πόθῳ τιμῶντάς σε.

Ἀγγέλοις ὁμότιμον τὸν νοῦν Πάτερ Διονύσιε, δι' ἀρετῆς ἐργασάμενος, τὴν ὑπερκόσμιον τῆς ἱεραρχίας, εὐταξίαν πάνσοφε, τῆς τούτων ἱερῶς ἀνιστόρησας, καθ' ἣν ἠρύθμησας, ἐκκλησίας τὰ συστήματα, οὐρανίων τὰς τάξεις μιμούμενος...

Ἐμφιλοσοφώτατα Θεῷ, μάκαρ Διονύσιε, ὡς δυνατὸν ὁμοιούμενος, τῶν ὀνομάτων σου, μυστικῶς τῶν θείων, εὐσεβῶς ἐξήντλησας, τὴν ἔνθεον θεόφρον ἀνάπτυξιν, ἑνώσει κρείττονι, μνησθεὶς τὰ ὑπὲρ ἔνοιαν, καὶ μύησας τοῦ κόσμου τὰ πέρατα.

*Ἕτερα Προσόμοια Ἦχος Α'. Ὡς γενναῖον ἐν Μάρτυσι.*

Ἱερὲ Διονύσιε, καὶ τοῦ Παύλου ἁλίευμα, τοῦ σοφοῦ τῆς πίστεως, θεοκήρυκος, οὗ ὥσπερ σπόγγοι τὰ νάματα, ἐκείνου δεξάμενος, τὰ σεπτὰ δὲ μυηθεὶς καὶ σωτήρια δόγματα καταξίωσαι, οὐρανίοις χορείας προσπελάσαι, καὶ θεάσασθαι τῆς ἄνω ἱεραρχίας διάκοσμον.

Ἀθηνῶν πολιοῦχον σε, καὶ ὀχύρωμα ἄρρηκτον, ὁ Χριστὸς σὲ ἀνέδειξε Διονύσιε· καὶ γὰρ πρεσβεύεις ἑκάστοτε, ρυσθῆναι τὴν ποίμνην σου. ἐκ ποικίλων πειρασμῶν, τὴν πιστῶς προσιοῦσαν σοι, καὶ τὴν ἔντιμον, καὶ ἁγίαν σου μνήμην ἐκτελοῦσαν καὶ τιμῶσαν σαυτοὺς ἄθλους οὕσπερ ἀνέτλης στεῤῥότατα.

Ἐκ περάτων ὁ Κύριος παραδόξως συνήγαγε, μαθητῶν τὸν θίασον, καὶ παρέστησεν αὐτοὺς τῷ θείῳ σκηνώματι, ἡ νίκη ἡ Πάναγνος, ἐξεδήμει ἀπὸ γῆς, εἰς τὰ ἄνω βασίλεια· σὺ δὲ πάνσοφε μετ' αὐτῶν συμπαρεῖναι εὐδοκήσας, ὡς Ἀπόστολον κλεΐζα, καὶ ἱεράρχην θεόληπτον.

ΓΕΝΝΑΔΕΙΟΣ ΒΙΒΛΙΟΘΗΚΗ ΝΤΟΡΗΣ ΠΑΠΑΣΤΡΑΤΟΣ

*Δόξα Ἦχος Α'.*

Τὸ πετεινὸν τοῦ οὐρανοῦ, τὸ ἄφωνον καὶ πολύφωνον, ὁ οὐρανοβάμων καὶ σοφὸς Διονύσιος, ἀνεφάνη σήμερον ἡμῖν, ὡς ἔαρ εὐφρόσυνον τὴν χαρμόσυνον ἡμέραν, τῆς ἐνδόξου αὐτοῦ μνήμης ἀναγγέλλων. Δεῦτε οὖν πνευματικῶς εὐφραινόμενοι, μελωδικῶς αὐτὸν ἀνευφημήσωμεν, πρέσβυν πρὸς τὸν Δεσπότην προβαλλόμενοι· ἔχει γὰρ πρὸς αὐτὸν παρρησίαν πολλήν, ὡς Ἱεράρχης ἁγιώτατος, καὶ μάρτυς αὐτοῦ καρτερικώτατος.

*Καὶ νῦν Θεοτόκιον Ἦχος Α'.*

Δεῦτε πιστῶν ἡ ὁμήγυρις πᾶσα, καὶ μοναζόντων ὁ θίασος· τὴν τῆς Παρθένου πυρίμορφον Σκέπην, τὴν ἡμᾶς περισκέπουσαν, καὶ διασώζουσαν μεγαλύνωμεν· καὶ τοῖς ὕμνοις κροτοῦντες, πνευματικῶς ἑορτάσωμεν· καὶ χαριστήριον αἶνον τῇ Παρθένῳ προσάξωσωμεν· ὡς δι' αὐτῆς σκεπόμενοι, πάντων δεινῶν ἐκλυτρούμεθα· καὶ ἐν ὥρᾳ τῇ φοβερᾷ τῆς αἰτήσεως, δι' αὐτῆς σωθῆναι ἐλπίζομεν καὶ λαβεῖν παρὰ Χριστοῦ τὸ μέγα ἔλεος.

*Εἴσοδος τὸ φῶς ἱλαρόν, καὶ τὰ Ἀναγνώσματα.*

*Παροιμιῶν τὸ Ἀνάγνωσμα.*

Υἱὲ μὴ ὀλιγώρει παιδείας Κυρίου, μηδὲ ἐκλύου ὑπ' αὐτοῦ ἐλεγχόμενος· ὃν γὰρ ἀγαπᾷ Κύριος παιδεύει, μαστιγεῖ τὸν πάντα υἱὸν ὃν παραδέχεται. Μακάριος ἄνθρωπος ὃς εὗρε σοφίαν καὶ θνητὸς ὃς εἶδε φρόνησιν· κρεῖσσον γὰρ αὐτὴν ἐμπορεύεσθαι ἢ χρυσίου καὶ ἀργυρίου θησαυρούς.

Τιμιωτέρα δὲ ἐστὶ λίθων πολυτελῶν· οὐκ ἀντιτάσσεται αὐτῇ οὐδὲν πονηρόν, εὔγνωστος ἐστὶ πᾶσι τοῖς ἀγαπῶσιν αὐτήν, πᾶν δὲ τίμιον οὐκ ἄξιον αὐτῆς ἐστί. Μῆκος γὰρ βίου καὶ ἔτη ζωῆς ἐν τῇ δεξιᾷ αὐτῆς, ἐν δὲ τῇ ἀριστερᾷ αὐτῆς πλοῦτος καὶ δόξα. Ἐκ τοῦ στόματος αὐτῆς ἐκπορεύεται δικαιοσύνη, νόμον δὲ καὶ ἔλεον ἐπὶ γλώσσης φορεῖ. Αἱ ὁδοὶ αὐτῆς ὁδοὶ καλαὶ καὶ αἱ τρίβοι αὐτῆς μὴ τηρήσουσι. Σοφοῖς οὐ μήποτε ἰσχύσει κακία.

*Δευτερονομίου τὸ Ἀνάγνωσμα.*

Εἶπε Μωσῆς πρὸς τοὺς υἱοὺς Ἰσραήλ. Ἰδοὺ Κυρίου τοῦ Θεοῦ σου· ὁ οὐρανὸς τοῦ οὐρανοῦ, ἡ γῆ, καὶ πάντα ὅσα ἐστὶν ἐν αὐτοῖς. Πλὴν τοὺς Πατέρας ἡμῶν προείλετο Κύριος ἀγαπῶν αὐτούς, καὶ



ἐξιλέσατο τὸ σπέρμα αὐτῶν μετ' αὐτούς, ὑμᾶς παρὰ πάντα τὰ ἔθνη, κατὰ τὴν ἡμέραν ταύτην. Καὶ περιτεμεῖσθε τὴν σκληροκαρδίαν ὑμῶν, κατὰ τὸν τράχηλον ὑμῶν οὐ σκληρυνεῖται ἔτι. Ὁ γὰρ Κύριος ὁ Θεὸς ἡμῶν, οὗτος Θεὸς τῶν θεῶν, καὶ Κύριος τῶν κυρίων· ὁ Θεὸς ὁ μέγας καὶ ἰσχυρὸς καὶ φοβερὸς ὅστις οὐ θαυμάζει πρόσωπον. οὐδ' οὐ μὴ λάβῃ δῶρον· ποιῶν κρίσιν προσηλύτῳ, καὶ ὀρφανῷ καὶ χήρᾳ καὶ ἀγαπᾷ τὸν προσήλυτον, δοῦναι αὐτῷ ἄρτον καὶ ἱμάτιον, Κύριον τὸν Θεόν σου φοβηθήσῃ, καὶ αὐτῷ μόνῳ λατρεύσεις, καὶ πρὸς αὐτὸν κολληθήσῃ καὶ ἐπὶ τῷ ὀνόματι αὐτοῦ ὀμῇ.

*Σοφίας Σολομῶντος τὸ Ἀνάγνωμα.*

Δικαίων ψυχαὶ ἐν χειρὶ Θεοῦ, καὶ οὐ μὴ ἅψηται αὐτῶν βάσανος, ἔδοξαν ἐν ὀφθαλμοῖς ἀφρόνων τεθνᾶναι. καὶ ἐλογίσθη κάκωσις ἡ ἔξοδος αὐτῶν, καὶ ἡ ἀφ' ἡμῶν πορεία σύντριμμα. Οἱ δὲ εἰσὶν ἐν εἰρήνῃ. Καὶ γὰρ ἐν ὄψει ἀνθρώπων, ἐὰν κολασθῶσιν, ἡ ἐλπὶς αὐτῶν ἀθανασίας πλήρης, καὶ ὀλίγα παιδευθέντες, μεγάλα εὐεργεθήσονται, Ὅτι ὁ Θεὸς ἐπείρασεν αὐτούς, καὶ εὗρεν αὐτοὺς ἀξίους ἑαυτοῦ· ὡς χρυσὸν ἐν χωνευτηρίῳ ἐδοκίμασεν αὐτούς, καὶ ὡς ὁλοκάρπωμα θυσίας προσεδέξατο αὐτούς· καὶ ἐν καιρῷ ἐπισκοπῆς αὐτῶν ἀναλάμψουσι, καὶ ὡς σπινθῆρες ἐν καλάμῃ διαδραμοῦνται· κρινοῦσιν ἔθνη καὶ κρατήσουσι λαῶν, καὶ βασιλεύσει αὐτῶν Κύριος εἰς τοὺς αἰῶνας. Οἱ πεποιθότες, ἐπ' αὐτῷ, συνήσουσιν ἀλήθειαν καὶ οἱ πιστοὶ ἐν ἀγάπῃ προσμενοῦσιν αὐτῷ, ὅτι χάρις καὶ ἔλεος ἐν τοῖς Ὁσίοις αὐτοῦ, καὶ ἐπισκοπή, ἐν τοῖς ἐκλεκτοῖς αὐτοῦ.

*Ἡ λιτὴ τοῦ Ἁγίου τοῦ Ναοῦ Ἦχος Β'.*

Ὁ φωτί σου ἅπασαν τὴν οἰκουμένην ἁγιάσας, εἰς ὄρος ὑψηλὸν μετεμορφώθης ἀγαθέ, δείξας τοῖς μαθηταῖς σου, τὴν δυναστείαν σου, ὅτι κόσμου λυτροῦσαι ἐκ παραβάσεως· διὸ βοῶμεν σοι. Εὔσπλαγχνε Κύριε, σῶσον τὰς ψυχὰς ἡμῶν.

*Καὶ τοῦ Ἁγίου Ἦχος Α'.*

Εὐφραίνεται σήμερον ἡ Ἀθηνῶν πόλις, καὶ φιλευσεβὴς ὁμήγυρις ἐν τῇ μνήμῃ Διονυσίου τοῦ θείου ἑαυτῆς ποιμενάρχου καὶ ἀγρύπνου προστάτου τε καὶ φρουροῦ· οὗτος γὰρ τοῦ ὑπὲρ ἡμῶν ἀναρτηθέντος ἐν ξύλῳ νοήσει κρείτονι τὸ πάθος κατιδών, τοῦ θείου Παύλου εὐχηθεὶς Θεὸν αὐτὸν καταγγέλοντος, ἐπέγνω τοῦ κηρύγ-

ματος τὴν ἀλήθειαν, καὶ τῆς Ἀθηνῶν ποιμαντορίας ἀξιωθείς, διὰ μαρτυρίου τὸν βίον ἐξετέλεσε, καὶ πρεσβεύει ἀπαύστως ὑπὲρ τῶν ψυχῶν ἡμῶν.

*Ἦχος Β'.*

Τὸν ἐν οὐρανοῖς ἥλιον, ὥσπερ ἐκλάμποντα, καὶ τοὺς ἀπὸ γῆς τοῖς θεοσόφοις διδάγμασι καταυγάζοντα, τὸν ἱερομύστην Διονύσιον, δεῦτε πιστοὶ μακαρίσωμεν· σήμερον γὰρ ἡμεῖς εἰς πανδαισίαν πνευματικὴν συνεκάλεσε τὰς ὑψηλὰς ἑαυτοῦ θεηγορίας προθέμενος, καὶ προχέων ἀφθόνως νέκταρος ἡδύτερον, τῆς εὐσεβείας τὸ πόμα τὸ ἔνθεον· τῆς εὐλογίας τε καταστρέφων τοὺς μετὰ πόθου τὴν μνήμην γεραίροντας.

*Ἦχος Γ'.*

Τί ἄντις πρότερον ἀγάπη τόσον, οὐρανόφρων μακάριε, τῆς θείας ἀναβάσεως, τῆς ἐν καρδίᾳ, δι' ὧν τὰ ὑπὲρ κατάληψιν πᾶσι διετράνωσας, τὸ εὐθές, τὸ πρᾶον, τὸ καρτερόν, ἐν τοῖς ἀγῶσι καὶ ἀήττητον· πάντα σέμνει σου· πάντα θαυμαστά· πάντων ἐπαίνων κρείττονα· ἀλλ' αἴτησιν τῶν εὐαγῶν ἀρετῶν σου μετόχους γενέσθαι καὶ ἡμᾶς τοὺς εὐφημοῦντάς σε.

*Δόξα Ἦχος Δ'.*

Ὁ τοῦ Ἀρείου Πάγου βουλευτής, καὶ μαθητὴς τοῦ Χριστοῦ ἐνδείκνυται, ὁ ἐπὶ τῶν φονικῶν καὶ δι' ὅλου σιωπῶν, ἐπὶ τῶν θείων ἀντικάθηται μυστηρίων, καὶ τρανῶς τῇ οἰκουμένῃ ταύτῃ παρίστησιν· ὅθεν καὶ διδάσκαλος καταλλήλως ἀκούει διδασκάλων, καὶ ποιμὴν ποιμένων, καὶ Παῦλος ἄλλος, ἢ Κορυφαῖος· τοῦτον γὰρ ὁμότροπος κατὰ πάντα γενόμενος, εἰκότως καὶ τῆς κλήσεως ἠξίωτο.

*Καὶ νῦν· τῆς Θεοτόκου. Ἦχος Β'.*

Ἡ σκέπη σου Θεοτόκε Πανάχραντε, πάντας πιστοὺς περισκέπουσα, διασώζει ἀπήμονας παντοίας ἐκ βλάβης καὶ φυλάττει ἀλωβήτους, ἀπὸ πάσης νόσου καὶ θλίψεως· πᾶσαν ἀχλὺν τῶν δεινῶν ἀπηλαύνουσα· καὶ ἐν αὐτῇ προσφευγότες οἱ δοῦλοι σου, ἐκλυτρούμεθα κινδύνων καὶ κακώσεων· σὺ γὰρ ἡμῶν ὑπάρχεις Σκέπη, καταφυγὴ καὶ ἀντίληψις σωτηρία τε καὶ βοήθεια· καὶ διὰ σοῦ σωτηρείας τυχεῖν ἐλπίζομεν Θεοτόκε, οἱ πρὸς σὲ πιστῶς καταφεύγοντες.



*Εἰς τὸν Στίχ. Ἦχος Πλ. Α'. Χαίροις ἀσκητικῶν ἀληθῶς.*

Χαίροις ὁ καὶ πρὸ Παύλου τελῶν, τὰ μετὰ Παῦλον, ἀκριβῶς Διονύσιε, τὸν νόμον μυσταγωγοῦντα, πρὸς ἀρετὴν μηδαμῶς κεκτημένος νόμος σαυτῷ γέγονας, καλοῦ ἅπαν εἶδος ἐκγυμναζόμενος οἴκοθεν ἑτοιμασίαν, ὡς πρὸς τὸ βάπτισμα, εἶναι σου καὶ προοίμιον, τῆς Χριστοῦ ὄντως πίστεως, τοῦτο δὴ τὸ πολίτευμα, καὶ βίον ἐνάρετον, ὡς ἀκριβείας οὐ πόρρω, τῆς καθ' ἡμᾶς θεωρούμενα ἃ δὴ μετὰ ταῦτα, κατελάμπρυνας, θεόφρων καὶ διὰ πίστεως.

*Στιχ. Εἰς πᾶσαν τὴν γῆν ἐξῆλθεν ὁ φθόγγος σου.....*

Σκότος ἐπὶ Σταυροῦ καθορῶν, ἀνηρτημένον, τὸν Θεὸν ἐνεδύετο, ὁ ἥλιος τῇ ἐκλείψει, τῇ ὑπὲρ φύσει σαφῶς, ἥν περ παραδόξως καθίστατο· δι ἧς ἐμαρτύρησε, τὸν Θεὸν σαρκὶ πάσχοντα, καὶ θεομάχων τὴν μωρίαν ἐξήλεγξε, καὶ παρέσχετο, σοὶ αὐτῷ Διονύσιε, γέρας τῇ πολιτείᾳ σου, αὐτόπτην γεγέσθαι σε, θεοσημαίας τοιαύτης, καὶ ἀρραβῶνα τῆς ἔπειτα, ἧς υἱοθεσίας, ἠξιώθης διὰ Παύλου μακαριώτατε.

*Στίχ. Οἱ Οὐρανοὶ διηγοῦνται δόξαν Θεοῦ.....*

Χαίρει ἡ Ἐκκλησία Χριστοῦ, καὶ τὴν Ἁγίαν νῦν τιμῶ σου πανήγυριν τοῦ θείου αὐτῆς λαμπτῆρος, καὶ μετὰ πόθου βοῶ, ὦ Πατέρων κλέος Διονύσιε, τὴν πόλιν σου φύλαττε, ἣν ἐνθέως ἐποίμανας, τοῖς εὐπροσδέκτοις πρὸς Θεὸν ἐντεύξεσι, καὶ περίσωζε ἀπὸ πάσης κακώσεως· μέμνησο ἱερώτατε· καὶ πάντων τῶν πίστει σου τὴν ἱερὰν ἐκτελούντων, καὶ φωτοφόρον πανήγυριν, Χριστὸν ἱκετεύων, ὑπὲρ οὗ τὸ αἷμα μάκαρ τὸ σὸν ἐξέχεως.

*Δόξα. Ἦχος β'.*

Ὁ τρόπῳ τε καὶ ἔργῳ τῷ Διδασκάλῳ ἐν πᾶσι ἀπαράμιλλος ἤδη σπεύδεται. Ὡς γὰρ Παῦλος ὑπὸ Νέρωνος, οὕτω καὶ Διονύσιος ὑπὸ Δοματιανοῦ, καρατομεῖται καὶ μαρτυρικῶς πρὸς τὸν ὑπ' αὐτοῦ κηρυττόμενον ἀποδημεῖ, ἡμῖν δ' ἐτησίως ἐπιδημεῖ, συμπαρῶν ἀοράτως καὶ ἁγιάζων ἡμᾶς.

*Καὶ νῦν τῆς Θεοτόκου. Ἦχος β'.*

Δεῦτε φιλεόρτων συστήματα, ἐν καθαρᾷ καρδίᾳ καὶ συνειδότι εὐστάθμῳ, τῇ Παρθένῳ τὸν ὕμνον προσείπωμεν λέγοντες· σὺ ἡμῶν Σκέπη καὶ βοήθεια Δέσποινα, καὶ τῇ σεπτῇ σου Σκέπῃ δια-

σώζεις ἀεί, τοὺς εἰς σὲ καταφεύγοντας· σκέπασον οὖν ἡμᾶς, τοὺς σὲ παρακαλοῦντας· καὶ πυρὸς γεέννης ἐξάρπασον, ἐν ὥρᾳ τῆς δίκης, ὡς πάντα ἰσχύουσα, μετὰ Θεὸν τῇ θερμῇ σου πρεσβείᾳ Πανύμνητε, Θεοτόκε Παντάνασσα.

*Τὸ Τρισάγιον. Καὶ τὸ ἀπολυτίκιον. Ἦχ. ά.*
*Τοὺς τρεῖς μεγίστους φωστῆρας.*

Τῆς σαγήνης τοῦ Παύλου, τὸ πανεύφημον θήραμα, τῆς τοῦ Πνεύματος αἴγλης τὸ χρυσαυγὲς φωταγώγημα. Θεολογίας τὸν λαμπρὸν ὑφηγήτορα, δι' οὗ τῶν ἄνω ἡ γνῶσις τοῖς γεηροῖς πρυτανεύεται. Διονύσιον τὸν μέγαν, τὸν ἐν Ἀρείῳ Πάγῳ, πρῶτον τὸν ὄντως Θεὸν εὐσεβήσαντα· τῶν Ἀθηναίων ὁ δῆμος πᾶς φιλαδῶν, δεῦτε σὺν πόθῳ ἀνευφημήσωμεν· αὐτὸν γὰρ πολιοῦχον ἡμῶν πλουτοῦμεν καὶ πρόμαχον.

*Καὶ νῦν. Θεοτοκίον ὁ αὐτὸς ἦχος.*

Τῆς Σκέπης σου τὴν χάριν ἀνυμνοῦμεν Παρθένε, ἣν ἐν τῷ πανσέπτῳ ναῷ σου ἐφήπλωσας τοῖς πᾶσι· τὸ θαῦμα ἐκπλήττει πάντα νοῦν, πῶς θεῖόν σου Μαφόριον σεμνή, ἐφηπλοῦτο πανταχόθεν τοῖς λαοῖς, τῇ αἴγλῃ ἀστραπηφόρον· χάρις τῇ ἀντιλήψει σου σεμνή· χάρις τῇ θείᾳ Σκέπῃ σου· χάρις τῇ προμηθείᾳ σου μόνη Θεόνυμφε.

*Ἀπόλυσις τοῦ Ἑσπερινοῦ.*
*Εἰς τὸν Ὄρθρον Καθίσματα. Ἦχος Α'. Τὸν τάφον σου.*

Τοῦ Παύλου τῶν ἐθνῶν, διδασκάλου καὶ μύστου, ἐγένου μαθητής, καὶ συγκῆρυξ ἐν πίστει, τὴν πόλιν σου κατείδωλον, οὖσαν πᾶσαν, ἐφώτισας, καὶ ἀνείλκυσας ἐκ τοῦ βυθοῦ τῆς ἀγνοίας, τοῖς διδάγμασι τοῖς σοῖς ἐνθέως ἀγρεύων, σοφὲ Διονύσιε.

*Δόξα καὶ νῦν.*

Τὴν Σκέπην σου Ἁγνή, τὴν σεπτὴν προσκυνοῦμεν, τοὺς πάντας τοὺς πιστούς, περισκέπτουσαν ὄντως, συμφώνως γεραίροντες, σοῦ τὴν δόξαν τὴν ἄρρητον· σὺ γὰρ πέφυκας, Σκέπη ἡμῶν καὶ προστάτις, καὶ βοήθεια τῶν εὐλαβῶς ἐκτελούντων, τῆς Σκέπης ἀνάμνησιν.

*Μετὰ τὴν Β'. Στιχολογίαν.*
*Κάθισμα Ἦχος Δ'. Ταχὺ προκατάλαβε.*

Σοφὲ Διονύσιε, ὡς ποιμενάρχης Χριστοῦ, καὶ μάρτυς παρί-



στασαι, αὐτοῦ τῷ θρόνῳ, φωτί, ἀρρήτῳ λαμπόμενος. Ἔπαρον οὖν τὰς χεῖρας, καὶ ἡμῶν ὑπερεύχου, ἵλεων τὸν Δεσπότην ἐργαζόμενος πᾶσι, τοῖς ὡς Θεὸν αὐτὸν ὁμολογοῦσι καὶ σέβουσι.

*Δόξα καὶ νῦν.*

Παρθένε Παντάνασσα, θείας σου Σκέπης πιστῶς, χαρᾷ τὴν ἀνάμνησιν ἐν Βλαχερνῷ σου ναῷ, λαμπρῶς ἑορτάζομεν, πάντες καὶ κατὰ χρέος, ἀνυμνοῦμεν ἐν πίστει· πόθῳ τὴν σὴν εἰκόνα, ἀσπαζόμενοι πάντες· τὴν χάριν δαψιλῶς ἀπαρυόμενοι.

*Μετὰ τὸν πολυέλεον. Κάθισμα Ἦχος Δ'. Ἐπεφάνης σήμερον.*

Τοῦ λαμπροῦ ἐπέλαμψε Διονυσίου, ἡ λαμπρὰ καὶ εὔσημος, καὶ φωτοφόρος ἑορτή, τὰς διανοίας αὐγάζουσα, τῶν ἐκτελούντων αὐτὴν μετὰ πίστεως.

*Δόξα καὶ νῦν Θεοτοκίον.*

Ἐν τῇ Σκέπῃ Ἄχραντε, τῇ φεραυγῇ σου, προσφυγόντας σκέπασον, καὶ διαφύλαξον ἡμᾶς, ἀπὸ κινδύνων καὶ θλίψεων, ὅπως τιμῶμεν τὴν ἄμαχον Σκέπην σου.

*Οἱ Ἀναβαθμοί. Προκείμενον· Οἱ «Ἱερεῖς σου Κύριε ἐνδύσονται δικαιοσύνην καὶ οἱ Ὅσιοί σου ἀγαλλιάσει ἀγαλλιάσονται.*
*Καυχήσονται ὅσοι ἐν δόξῃ.*

**Τὸ Εὐαγγέλιον. Ἐκ τοῦ κατὰ Ματθαῖον. Πέμπτη ΙΑ' ἑβδομάδος.**

Εἶπεν ὁ Κύριος τοῖς ἑαυτοῦ Μαθηταῖς. Ὁ ὑπομείνας εἰς τέλος, οὗτος σωθήσεται. Καὶ κηρυχθήσεται τοῦτο τὸ Εὐαγγέλιον τῆς Βασιλείας ἐν ὅλῃ τῇ οἰκουμένῃ εἰς μαρτύριον πᾶσι τοῖς ἔθνεσι· καὶ τότε ἥξει τὸ τέλος. Ὅταν οὖν ἴδητε τὸ βδέλυγμα τῆς ἐρημώσεως τὸ ῥηθὲν διὰ Δανιὴλ τοῦ Προφήτου, ἑστὼς ἐν τόπῳ ἁγίῳ (ὁ ἀναγινώσκων νοήτω τότε οἱ ἐν τῇ Ἰουδαίᾳ φευγέτωσαν ἐπὶ τὰ ὄρη· ὁ ἐπὶ τοῦ δώματος μὴ καταβαινέτω ἆραι τι ἐκ τῆς οἰκίας αὐτοῦ, καὶ ὁ ἐν τῷ ἀγρῷ μὴ ἐπιστρεψάτω ὀπίσω ἆραι τὰ ἱμάτια αὐτοῦ. Οὐαὶ δὲ ταῖς ἐν γαστρὶ ἐχούσαις, καὶ ταῖς θηλαζούσαις ἐν ἐκείναις ταῖς ἡμέραις. Προσεύχεσθε δὲ ἵνα μὴ γένηται ἡ φυγὴ ὑμῶν χειμῶνος, μηδὲ ἐν Σαββάτῳ. Ἔσται γὰρ τότε θλίψις μεγάλη οἷα οὐ γέγονεν ἀπ' ἀρχῆς κόσμου, ἕως τοῦ νῦν οὐδ' οὐ μὴ γένηται. Καὶ εἰ μὴ ἐκολοβώθησαν αἱ ἡμέραι ἐκεῖναι, οὐκ ἂν ἐσώθη πᾶσα σάρξ, διὰ δὲ τοὺς ἐκλεκτοὺς κολοβωθήσονται αἱ ἡμέραι ἐκεῖναι. Τότε ἐάν τις ὑμῖν εἴπῃ. Ἰδοὺ ὧδε ὁ Χριστός, ἢ ὧδε·

μὴ πιστεύσητε. Ἐγερθήσονται γὰρ ψευδόχριστοι καὶ ψευδοπροφῆται, καὶ δώσουσι σημεῖα μεγάλα καὶ τέρατα, ὥστε πλανῆσαι, εἰ δυνατόν, καὶ τοὺς ἐκλεκτούς. Ἰδοὺ προείρηκα ὑμῖν, ἐὰν οὖν εἴπωσιν ὑμῖν. Ἰδοὺ ἐν τῇ ἐρήμῳ ἐστί· μὴ ἐξέλθητε. Ἰδοὺ ἐν τοῖς ταμείοις· μὴ πιστεύσητε. Ὥσπερ γὰρ ἡ ἀστραπὴ ἐξέρχεται ἀπὸ ἀνατολῶν καὶ φαίνεται ἕως Δυσμῶν. οὕτως ἔσται. καὶ ἡ παρουσία τοῦ Υἱοῦ τοῦ ἀνθρώπου. Ὅπου γὰρ ἐὰν ᾖ τὸ πτῶμα, ἐκεῖ συναχθήσονται οἱ ἀετοί...

*Μετὰ τὸ Ν΄. Δόξα ταῖς τοῦ Ἱεράρχου. Καὶ νῦν, Ταῖς τῆς Θεοτόκου, καὶ τὸ ἰδιόμελον Ἦχος πλ. β΄.*

Πάνσοφε μαθητὰ Παύλου διδασκάλου, καὶ διδάσκαλε ἐθνῶν, ταῖς ἱκεσίαις σου ἡμᾶς περίσωζε δεόμεθα, ἀπὸ βλάβης παντοίας, παριστάμενος, τῷ Θεῷ καὶ Σωτῆρι ἡμῶν, ὡς ἱεράρχης καὶ μάρτυς εὐπρόσδεκτος.

*Σῶσον ὁ Θεὸς τὸν λαόν σου. Ἐλέῳ καὶ οἰκτιρμοῖς.*
*Κανὼν τῆς Θεοτόκου Ἦχος Α΄. Ὠδὴ Α΄.*

Τὴν πάνσεπτον Σκέπην σου Θεοχαρίτατε Δέσποινα· οἱ δοῦλοι σου σήμερον πόθῳ γεραίρωμεν· ἣν ὁ ὅσιος Ἀνδρέας ἐν Βλαχέρναις, κατεῖδε γηθόμενος, καὶ ἀγαλλόμεθα.

Ὑπεραγία Θεοτόκε σῶσον ἡμᾶς...

Εὐφρόσυνον σήμερον, ἡμέραν ἄγει ἡ σύμπασα, κτίσις ἑορτάζουσα τὴν θείαν Σκέπην σου Μητροπάρθενε· ἡμεῖς δὲ κατὰ χρέος· τιμῶμεν ὡς σκέπουσαν, ἡμᾶς ἑκάστοτε.

Τοῦ κόσμου τὰ πέρατα, δόξῃ τῆς Σκέπης σου Δέσποινα, ἐπαγαλλιώμενα πανηγυρίζουσιν· οἷα σκέπουσαν, πάντας καὶ συντηροῦσαν· ἐκ πάσης κακώσεως, καὶ περιστάσεως.

Αὔλων ταγμάτων σε ὑπερανέχουσαν Δέσποιναν· ἀσυγκρίτως ἔγνωμεν, καὶ οὐρανῶν ἀληθῶς. Πλατυτέραν σε σκέπασαν τῇ σῇ Σκέπῃ· πιστῶν ἅπαν πλήρωμα, καὶ διασώζουσαν.

*Ἕτερος Κανὼν τοῦ Ἁγίου Ἦχος Πλ. Δ΄. Ἅγιε τοῦ Θεοῦ πρέσβευε ὑπὲρ ἡμῶν.*

Τῷ Παύλῳ τῷ θείῳ μαθητευθείς, τῷ τῶν οὐρανίων, Διονύσιε θεατῇ, οὐράνιος μύστης παραυτίκα, καὶ θεηγόρος ἐχρημάτισας...

Ὁ χάριτι θείᾳ καταυγασθείς, μάκαρ, τῶν ὑμνούντων σε τὰς ψυχάς, τὰς σὰς συνιέναι θεοπνεύστους, διδασκαλίας Διονύσιε.



Νοὸς καθαρότητι καὶ ψυχῆς, τῶν ἐπουρανίων διακόσμων τὰς ἀστραπάς, μαθεῖν ἠξιώθης, καὶ τὰς τούτων, χοροστασίας ἰδεῖν Διονύσιε.

Νυμφὼν φωτοφόρος τῆς ὑπὲρ νοῦν, σαρκώσεως ὤφθης τοῦ τῶν ὅλων Δημιουργοῦ· ἐκ σοῦ γὰρ τὴν σάρκα Θεομῆτορ, τὴν ἡμετέραν ἠμφιάσατο.

*Ὠδὴ Γ. Ὑπεραγία Θεοτόκε σῶσον ἡμᾶς Ἦχος Δ΄.*

Ὁ πρὶν Ἰσραὴλ πυρὸς τῷ στύλῳ· νεφέλῃ σκεπτόμενος πρὸς γῆν, ἐπαγγελίας ᾤχετο. Σκέπῃ δὲ τῇ πανσέπτῳ σου, πιστοὶ περισκεπόμενοι, πρὸς οὐρανοὺς μεταβαίνομεν.

Νεφέλη ἡ πάλαι προετύπου· τὴν θείαν σου Σκέπην ἀληθῶς, τῇ παναλκεῖ δυνάμει γὰρ Θεομῆτορ Ἄχραντε σκέπεις ἡμᾶς τοὺς δούλους σου, ἐκ τῶν βελῶν τοῦ ἀλάστορος.

Τὸ σκότος τῆς πάλαι ἀθεΐας, διέλυσας Δέσποινα Ἁγνή· τὸ φῶς ἀποκτήσασα, Χριστὸν τὸν ὑπεράγαθον· νῦν δὲ τῇ θείᾳ Σκέπῃ σου, σκέπεις τοὺς πόθῳ τιμῶντας σε.

Ὁ εἷς τῆς Τριάδος κόσμον ὤφθη, ἐκ σοῦ Θεοτόκε σαρκωθείς· καὶ ἔσωσε τὸν ἄνθρωπον· σὺ δὲ τῇ θείᾳ σου Σπέπῃ σου· σκέπεις ἡμᾶς τοὺς δούλους σου, καὶ διασώζεις κολάσεως.

*Τοῦ Ἁγίου Ἦχος Πλ. Δ΄. Ἅγιε τοῦ Θεοῦ πρέσβευε ὑπὲρ ἡμῶν Ὠδὴ Γ΄.*

Οὐρανίων ἀψίδων, ὑπεραρθεὶς Ὅσιε, τῶν ὑπερκοσμίων τὰς τάξεις καὶ τὰ στρατεύματα, καὶ τὰς λαμπρότητας, ὑφηγορίαις τῶν λόγων, καὶ πανσόφοις φράσεσι, πᾶσιν ἐτράνωσας.

Ὑψηλῆς θεωρίας, ἐμφορηθεὶς ἔνδοξε, τὴν τῶν ὀνομάτων τῶν θείων, πᾶσαν ἀνάπτυξιν, ἐθεολόγησας, Τριαδικὸς θεολόγος, γεγωνὼς τῇ χάριτι θεομακάριστε.

Νεκρωθεὶς τοῖς παροῦσι, τῷ πρὸς τὸν Θεὸν ἔρωτι, καὶ φιλοσοφίᾳ συντόνως ἐγγυμνασάμενος, τῶν ὑπὲρ ἔννοιαν, ζωοποιῶν χαρισμάτων, θεοφόρον ὄργανον, Πάτερ γεγένησαι.

*(Καὶ νῦν)*

Γεωργία Παρθένε, Παντουργοῦ Πνεύματος, σῶμα τῷ Δεσπότῃ, τῶν ὅλων ἐκαρπωφόρησας, ἐν ᾧ κατέκρινε, τὴν ἁμαρτίαν τοῦ κόσμου, καὶ τὴν ζωὴν ἐπήγασε, τὴν αἰωνίζουσαν.

*Αἴτησις, Ὅτι σὺ εἶ ὁ Θεὸς ἡμῶν. Κάθισμα Ἦχος Πλ. Δ΄.*
*Τὴν σοφίαν καὶ λόγον.*

Ὡς τοῦ σκεύους ὑπάρχων τῆς ἐκλογῆς, ἀπεικόνισμα θεῖον ὡς ἀληθῶς, τὰ θεῖα μυστήρια ἐκδιδάσκεις τῷ πνεύματι· καὶ φωτισθεὶς τῇ χάριτι, τῆς θείας ἐλλάμψεως, τὰς τῶν Ἀγγέλων τάξεις, τρανῶς διασάφησις· ὅθεν καὶ τῷ κόσμῳ νοητῶς καταλήψας, τὰ θεῖά σου δόγματα, κατεφώτισας ἅπαντα, Ἱερομύστα Διονύσιε· Πρέσβευε Χριστῷ τῷ Θεῷ, τῶν πταισμάτων ἄφεσιν δωρήσασθαι, τοῖς ἑορτάζουσι πόθῳ τὴν ἁγίαν μνήμην σου.

*Δόξα καὶ νῦν θεοτοκίον Ἦχος Πλ. Δ΄.*

Ὡς νεφέλη καὶ σκέπη στύλος πυρός, ἡλιόμορφον ἅρμα τε τοῦ Δαβίδ, κλίνη Σολομῶντος, Ἡσαΐου ὁ τόμος τε, σκηνὴ τοῦ Μωϋσέως, καὶ τεῖχος ἀδάμαντος, σὺ τοῦ Ἀμὼς ὑπάρχουσα, λυχνία χρυσήλατος, ἡ τοῦ Ζαχαρίου, Δανιὴλ τε τὸ ὄρος, πυξίον κροκόλευκον, Ἀββακοὺμ καὶ τὸ ἔξοχον, Προφητῶν περιήχημα, σκέπασον οὖν πάντας ἡμᾶς τοὺς τιμῶντας, θεῖον σου Μαφώριον· καὶ λύτρωσαι παντὸς κακοῦ, οἷα πάντα ἰσχύουσα.

*Ὠδὴ Δ΄. Τῆς Θεοτόκου Ὑπεραγία Θεοτόκε σῶσον ἡμᾶς Ἦχος Δ΄.*

Ἐπιφάνηθι παρθένε, καὶ τῇ Σκέπῃ σου σκέπασον, τοὺς πιστῶς τιμῶντας, τὰ σὰ μεγαλεῖα καὶ θαύματα· καὶ μὴ σὺν ποίμνην ἐκδώκῃ εἰς ἀπώλειαν, σκέπασον πάντας ἡμᾶς τῇ σῇ χάριτι.

Ἄνοιξον τὴν θύραν πᾶσι, τοῦ ἐλέους σου Δέσποινα, καὶ σοῦ θείᾳ Σκέπῃ σου ἡμᾶς τοὺς τιμῶντας σε· καὶ ἐκ παντοίων κινδύνων διαφύλαττε, τοὺς τελοῦντας νῦν, Σκέπης τῆς σῆς τὴν ἀνάμνησιν.

Σκέπην σὲ πάντες Παρθένε, οἱ πιστοὶ ἐπιστάμεθα· σκέπασον οὖν πάντας τοὺς προσκαλουμένους ἐκ πίστεως, σοῦ τὸ Πανάγιον ὄνομα καὶ λύτρωσον πάσης θλίψεως, ἐκ τοῦ δεινοῦ πολεμίτορος.

Ὁ ἐν κόλποις τοῖς πατρῴοις, ἀχωρήστως καθήμενος, σοῦ ἐν τοῖς ἀγκάλοις, κάθηται ὡς νήπιος καὶ περισκέπεις τὴν ποίμνην Σκέπῃ σου· ἐκ κακώσεων ἐπιδρομῆς τε ἀλώβητον.

*Ὠδὴ Δ΄. Ἅγιε τοῦ Θεοῦ, πρέσβευε ὑπὲρ ἡμῶν. Ἦχος Πλ. Δ΄.*

Ἐκκλησιῶν, τὴν εὐκοσμίαν ἐρρύθμισας· ἐν αὐταῖς γάρ, Πάτερ ἐζωγράφησας, μορφωτικαῖς, τύπους ἐμφανεῖς, ἱεροπληστίαις,



τῶν ἀμορφώτων Δυνάμεων· δι' ὧν μυσταγωγεῖται καὶ φωτίζεται πᾶσα, τῶν πιστῶν ἡ θεόφρων ὁμήγυρις.

Ῥεῖθρα τῆς σῆς Θεολογίας θεόληπτε, τοὺς χειμῶνας, ἄγων καταρδεύουσι, τοὺς λογικοὺς καὶ ἀειθαλεῖς καὶ πεφυτευμένους ἐπὶ δογμάτων ὀρθότητι. Μονάδα γὰρ οὐσίας, ἐν Τριάδι προσώπων, τὴν σεπτὴν Μοναρχίαν ἐκήρυξας.

Ἀγγελικῆς, ἱεραρχίας τὸν σύντονον, Ἱεράρχα, πόθον καὶ τὸν ἔρωτα πρὸς τὸν Θεόν, καὶ τὴν ἀκλινῆ νεῦσιν πρὸς τὸ ὕψος, τὸ θεῖον καὶ ἀκατάλειπτον, ἐδίδαξας ἐμφρόνως, τοὺς ἐν πίστει βοῶντας. Τὴν δυνάμει σου δόξα φιλάνθρωπε.

Ἱερουργὸς τῆς σωτηρίας ἐγένετο, ὁ Υἱός σου, πᾶσι τοῖς ὑμνοῦσι σε, καὶ ποδηγὸς καὶ φωταγωγὸς καὶ δικαιοσύνη, Παρθένε καὶ ἀπολύτρωσις· διό σε Θεοτόκον, ἀληθῶς καὶ κυρίως, οἱ πιστοὶ ὁμοφρόνως δοξάζομεν.

*Ὠδὴ Ε΄. Ὑπεραγία Θεοτόκε σῶσον ἡμᾶς Ἦχος Δ΄.*

Ἐξέστησαν Ἄγγελοι, ὅτε Παρθένε ἥπλωσας θείου Μαφωρίου σου τὴν Σκέπην, ἐν Βλαχερνῶν σου τῷ πανιέρῳ ναῷ, ὡς εἶδεν Ἀνδρέας ὁ κλεινός καὶ πιστοὺς ἐσκέπασας, τὴν σὴν χάριν βραβεύουσα.

Ὡς σκέπη ὑπάρχουσα, Παρθένε ἡμᾶς σκέπασαν, τοὺς ὑμνολογοῦντας σοῦ τὴν Σκέπην, καὶ προσκυνοῦντας σου τὸ Μαφώριον. καὶ θείαν εἰκόνα τὴν σεπτήν, κατασπαζομένους, καὶ κινδύνων διέσωζε.

Σκέπη καὶ ἀντίληψις, ἡμῶν ὑπάρχεις Ἄχραντε, φρουρὸς καὶ ταχεῖα προστασία, ἀπὸ κινδύνων καὶ ἐξ ἐφόδου ἐθνῶν, ἡμᾶς περισκέπουσα ἀεί· ὅθεν μεγαλύνομ ν, τὴν πολλήν σου προμήθειαν.

Σκηνὴ ἐπουράνιος, ὑπάρχουσα Πανάμωμε, σκέπεις καὶ φυλάττεις, τὴν σὴν ποίμνην. ἀπὸ παντοίων δεινῶν καὶ θλίψεων, σεισμοῦ καταπτώσεως, λοιμοῦ, μαχαίρας πολέμου τε σοῦ τῇ Σκέπῃ σκεπάζουσα.

*Ὠδὴ Ε΄. Ἅγιε τοῦ Θεοῦ, πρέσβευε ὑπὲρ ἡμῶν. Ἦχ. Πλ. Δ΄.*

Ῥημάτων σου ὁ φθόγγος, ὥσπερ τοῖς οὐρανίοις ἦχος φερόμενος, τὰς ἀθέους φρένας, καταβρόντησε λόγῳ τῆς χάριτος καὶ δογμάτων θείων μαρμαρυγαῖς ταῖς φανωτάταις τῶν πιστῶν τὰς καρδίας ἐλάμπρυνον.

Ὡμοιώθης ἐμπόρῳ, τῷ τοὺς μαργαρίτας ζητοῦντι πανόλβιε, καὶ εὑρὼν τὸν ἕνα, μαργαρίτην τὸν ὄντως πολύτιμον, καὶ θαυμάσας τούτου, τὰς θεουργοὺς φωτοβολίας, Ἱεράρχα Θεὸν ὁμολόγησας.

*Δόξα.*

Τὴν πηγὴν τῆς σοφίας, ἐμφιλοσοφώτατε, Πάτερ ἠγάπησας, καὶ τῷ ταύτης φίλτρῳ, καὶ ἀγάπῃ συμπεριφερόμενος, πολοστὸς ἐγένου, καὶ ποταμοὺς θείων ναμάτων αἰωνίως πηγάζεις θεόληπτε·

*Καὶ νῦν.*

Ὡς κεχαριτωμένη, τὴν καλλοποιὸν ὑπεδέξω εὐπρέπειαν, τὴν τὰ πάντα μονῷ, τῷ βουλήματι κατασκευάσασαν· καὶ τῷ θείῳ κάλλει καὶ φωτισμῷ τῆς εὐσεβείας, Θεομήτωρ ἡμᾶς καλλωπίσασον.

*Ὠδὴ Στ. Ὑπεραγία Θεοτόκε σῶσον ἡμᾶς. Ἦχος Δ'.*

Τὴν θείαν Σκέπης ἐφάπλωσον, Πανύμνητε τῆς σῆς ἀντιλήψεως, καὶ τῆς ἀθλίας μου ψυχῆς, τὴν γύμνωσιν σκέπασον, ὅπως ἀεὶ δοξάζω τὰ μεγαλεῖα σου.

Πᾶσα ἡ κτίσις ἀγάλλεται, τῇ μνήμῃ τῆς σεπτῆς πανηγύρεως, τῆς θείας Σκέπης σου, σκέπεις καὶ γὰρ τοὺς οἰκέτας σου, καὶ διασώζεις Πάναγνε ταῖς πρεσβείαις σου

Ἀγγέλων τάξεις Πανάχραντε βροτῶν τε τὰ συστήματα μέλπουσι, τὴν θείαν Σεπτήν σου· σκέπτει γὰρ πάντως Πανάχραντε, τοὺς τὴν σεπτήν σου Σκέπην, πόθῳ γεραίροντας.

Λαὸν καὶ ποίμνην σου Δέσποινα, διάσωσον δεινῶς κινδυνεύοντας, ἐκ παραπτώσεων, καὶ Σκέπης σου τῇ θείᾳ νῦν σκέπασον, ὡς πάντα δυναμένη Μητρόθεε.

*Ὠδὴ ΣΤ'. Ἅγιε τοῦ Θεοῦ πρέσβευε ὑπὲρ ἡμῶν. Ἦχος Πλ. Δ'.*

Νομίμως φιλοσοφῶν, σοφίας δῶρον ἐπέτυχες· ἐνθέως θεολόγων Ὀρθόδοξα δόγματα, Παμμάκαρ κατέλιπες, ὧν κατατρυφῶντες, οἱ πιστοὶ μακαρίζομεν.

Συνέσει θεοπρεπεῖ, θεόφρων καλλωπιζόμενος, τῷ θείῳ μυσταγωγῷ, τὸ οὖς σου ὑπέκλινας, καὶ τὴν ὑπερκόσμιον, ὑπ' αὐτοῦ σοφίαν ἐμυήθης Διονύσιε.

Ὁ βίος σου θαυμαστός, ὁ λόγος θαυμασιώτερος, ἡ γλῶσσα σου φωταυγής, τὸ στόμα σου πυρίπνοον, μάκαρ Διόνυσε· ὁ δὲ νοῦς σου Πάτερ, ἀκριβῶς θεοειδέστατος.



Φωνήν σου τοῦ Γαβριήλ, τὸ χαῖρε πίστει κραυγάζομεν ἐξ ἀφράστου ἡμῶν, ζωαρχικότητος, ἀνὴρ ἐχρημάτισε, καὶ συνανεστράφη, τοῖς ἀνθρώποις ὁ φιλάνθρωπος.

*Αἴτησις. Σὺ γὰρ εἶ ὁ Βασιλεὺς τῆς εἰρήνης. Κοντάκιον Ἦχος Πλ. Δ'.*

Τὰς οὐρανίους διαβὰς πύλας ἐν Πνεύματι, μαθητευθεὶς τῷ ὑπὲρ τρεῖς οὐρανοὺς φθάσαντι, Ἀποστόλων Διονύσιε τῶν ἀρρήτων, ἐπλουτίσθης πᾶσαν γνῶσιν καὶ κατηύγασας, τοὺς ἐν σκότει ἀγνωσίας πρὶν καθεύδοντες· διὸ κράζοντες. Χαίροις Πάτερ Παγκόσμιε.

*Ὁ οἶκος.*

Ἄγγελος ἐξ ἀνθρώπων ἀρεταῖς χρηματίσας, ὁ μέγας Διονύσιος πᾶσαν, ὡς ὑπόπτερος, ἐμυήθη τὸν νοῦν τὴν οὐράνιον γνῶσιν· διὸ ᾄσμασιν, ὡς Ἄγγελον τιμήσωμεν, βοῶντες πρὸς αὐτὸν τοιαῦτα.

Χαῖρε ὁ γνοὺς Χριστὸν διὰ Παύλου.
Χαῖρε πολλὰς πρὸς Χριστὸν ἐπιστρέψας.
Χαῖρε πολυθέου σκηνῆς ὀλετήριον.
Χαῖρε θεογνώστου βουλῆς, σκοπευτήριον.
Χαῖρε βίβλος θεοχάρακτος μυστηρίων θησαυρέ.
Χαῖρε πίναξ θεομόρφωτε καὶ διόπτρα οὐρανοῦ.
Χαῖρε ὅτι τὸ πάθος τοῦ Κυρίου κατεῖδες.
Χαῖρε ὅσα προθύμως δι' αὐτὸν σφαγιάζῃ.
Χαῖρε πηγὴ βλαστάνουσα ἄφεσιν.
Χαῖρε ῥανίς, κοιλαίνουσα ἄνοιαν.
Χαῖρε ὁδὸς ἀπλανὴς σωτηρίας.
Χαῖρε φραγμὸς ἀσεβῶν παροδίας.
Χαῖρε πάτερ παγκόσμιε.

*Τῇ 3 τοῦ μηνὸς Ὀκτωβρίου. Μνήμη τοῦ Ἁγίου Ἱερομάρτυρος Διονυσίου τοῦ Ἀρεοπαγίτου.*

*(Στιχ.) Τέμνην κεφαλήν, καὶ τὸ λοιπόν, ὡς μέγας.*
*Αἴρεις γὰρ αὐτήν, Διονύσιε τρέχεις,*
*Τιμηθεὶς Διονύσιε, τρίτη κεφαλὴν θεὲς αἴρων.*

*Τῇ αὐτῇ ἡμέρᾳ τῶν Ἁγίων μαρτύρων Ρουστικοῦ καὶ Ἐλευθερίου*
*Τοῦ Ἁγίου μάρτυρος Θεοκτίστου.*
*Τοῦ Ἁγίου Ἱερομάρτυρος Διονυσίου, καὶ σὺν αὐτῷ ὀκτὼ Μαρτύρων.*
*Τοῦ Ἁγίου Ἱερομάρτυρος Θεογένους.*
*Τοῦ Ἁγίου Μάρτυρος Θεοτέκνου.*
*Τοῦ Ἁγίου μάρτυρος Αὐδάκτου.*
*Τοῦ Ὁσίου Πατρὸς ἡμῶν, Ἰωάννου τοῦ Χοζεβίτου, Ἐπισκόπου Και-*

σαρείας.

*Ταῖς τῆς Θεοτόκου πρεσβείαις, τοῦ Ἁγίου Ἱερομάρτυρος Διονυσίου καὶ πάντων τῶν Ἁγίων.* *Ἀμήν*

*Ὠδὴ Ζ'. Ὑπεραγία Θεοτόκε σῶσον ἡμᾶς. Ἦχος Δ'.*

Ἡ πληθὺς πιστῶν συνέλθετε ἀθροίσθητε, ὕμνον προσάγοντες, τῇ τοῦ Κυρίου μητρί, τὴν Σκέπην γεραίροντες, Μαφωρίου αὐτῆς, ἀνακράζοντες, Σκέπη ἡμῶν καὶ καύχημα, οὐ ὑπάρχεις Θεοτόκε.

Ὡς ὑπέρλαμπρον ἀνάκτορον ὑπάρξασα τοῦ πάντων Ἄνακτος, Ἄνασσα Μήτηρ Θεοῦ, τῇ Σκέπῃ σου τῇ θείᾳ, σκέπεις πιστῶν τὴν πληθύν· διὸ κράζομεν. Σκέπη ἡμῶν καὶ καύχημα σὺ ὑπάρχεις Θεοτόκε.

Στάμνος πάγχρυσος. τὸ μάνα ἔνδον φέρουσα, τὸν ἐπουράνιον, παρεκτικὸν τῆς ζωῆς, ἡ σὴ σοφῆς ἀληθῶς· ἡ σοῦ τὸ Μαφώριον, ἀναδείκνυται, μεθ' οὗ σκέπεις τοὺς δούλους σου, τοὺς πιστῶς σε ἀνυμνοῦντας.

Ἀϊδίου φωτὸς τέμενος ὑπάρχουσα, Τριάδος οἴκημα, τῆς ὑπερθέου φαιδρόν, τῇ Σκέπῃ σου Δέσποινα, σκέπεις τοὺς δούλους σου, τοὺς κραυγάζοντας. Σκέπη ἡμῶν καὶ καύχημα, σὺ ὑπάρχεις Θεοτόκε.

*Ὠδὴ Ζ'. Ἅγιε τοῦ Θεοῦ, πρέσβευε ὑπὲρ ἡμῶν. Ἦχος Πλ. Δ'.*

Ὡς ὄμβρος οὐράνιος, ἐν γῇ διψώσῃ τὰ σὰ διδάγματα, τῶν πιστῶν τὰς καρδίας, ἀεὶ πιθούσας καταπιαίνουσι, καὶ ἀκορέστως βοᾶν ἐκδιδάσκουσιν. Εὐλογητὸς ὁ Θεός, ὁ τῶν Πατέρων ἡμῶν.

Νοήσει θεόφρονι, τοὺς ἀσωμάτους Νόας διέγραψας· καὶ τὰς τούτων Παμμάκαρ, ὑμνολογίας ἔνθους γενόμενος. τὴν Ἐκκλησίαν ὑμνεῖν ἐξεπαίδευσας. Εὐλογητὸς ὁ Θεὸς ὁ τῶν Πατέρων ἡμῶν.

*Δόξα πατρί.*

Δοχεῖον τοῦ Πνεύματος, τοῦ Παναγίου ὤφθης ἐνάρμοστον, καὶ τὰς τούτου ἐμπνεύσεις, καὶ φανερώσεις προφητικώτατα προηγορεύων, ἐβόας γηθόμενος· Εὐλογητὸς ὁ Θεός, ὁ τῶν Πατέρων ἡμῶν.

*Καὶ νῦν.*

Ἰδοὺ νῦν πεπλήρωται, τοῦ Ἡσαΐου ἡ προαγόρευσις· ἐν γαστρὶ γὰρ Παρθένε, τὸν Θεὸν λόγον ἔσχες,καὶ τέτοκας τὸν Ζωοδότην. ὦ πάντες κραυγάζομε. Εὐλογητὸς ὁ Θεὸς ὁ τῶν Πατέρων ἡμῶν.



*Ἦχ. Δ'. Ὠδὴ Η'. Ὑπεραγία Θεοτόκε σῶσον ἡμᾶς.*

Ἀνδρέας ὁ σὸς πιστῶν θεράπων, ἐκ Πνεύματος Ἁγίου συγκινούμενος, ἐν Ναῷ σου Δέσποινα, Βλαχερνῶν ἑώρακε. Σὲ ἁγνὴν ἐκ βήματος ἐξερχομένην φρικτῶς, καὶ σκέπασον τῇ σκέπῃ σου πάντας πιστούς, σὲ ὑμνοῦντας, Ἁγνὴ εἰς τοὺς αἰῶνας.

Μέγιστον εἰς ὕψος ὑπερήφθη, ἡ Σκέπη ἡ σὴ Θεοχαρίτῳ τε, σκέπουσα τοὺς δούλους σου, τοὺς πόθῳ ἀνυμνοῦντες σὲ Κόρη, καὶ δοξολογοῦντας εἰς πάντας τοὺς αἰῶνας.

Αἴγλης τῆς σεπτῆς καὶ τρισηλίου, λαμπρότατον σκήνωμα ὑπάρχουσα, σκέπασον τοὺς δούλους σου, αἴγλῃ θείας Σκέπης σου, τὴν φωταυγίαν πέμπουσα τῆς σῆς ἐλλάμψεως, καὶ σκέπουσα τοὺς σὲ ὑμνοῦντας, καὶ δοξολογοῦντας Ἁγνὴ εἰς τοὺς αἰῶνας.

*Ὠδὴ Η'. Ἅγιε τοῦ Θεοῦ, πρέσβευε ὑπὲρ ἡμῶν. Ἦχ. Πλ. Δ'.*

Διαφανὲς ὡς ἔσοπτρον, γεγονὼς Διονύσιε, καὶ χωρητικὸν τῶν καθαρῶν ἐμφάσεων, τὸ νοῦν ἐργασάμενος, δι' ἀρετῆς πανόλβιε. τὰς μαρμαριγάς, τῶν ὑπὲρ νοῦν λαμπηδόνων δεχόμενος ἐβόας. Ἱερεῖς εὐλογεῖτε, λαὸς ὑπερυψοῦται, εἰς πάντας τοὺς αἰῶνας.

Ἀφθωνοτέρα χάρις σου, ἐξεχύθη τοῖς χείλεσιν· ὅθεν τοὺς ἐνθέους. διδαχὼς παρέθηκας, τὴν ταύτην διάνοιαν, ὑπερφυῶς ἡμῖν ἐξαπλῶν, καὶ διατρανῶν, καὶ τηλαυγῶς ἀναπτύσσων, τοῖς πίστει μελῳδοῦσιν Ἱερεῖς εὐλογεῖτε λαὸς ὑπερυψοῦτε, Χριστὸν εἰς τοὺς αἰῶνας.

*Δόξα πατρί.*

Γνωριμωτέρα γέγονε διὰ σοῦ Διονύσιε, ἡ τῶν Ἀθηνῶν πανευκλεὴς Μητρόπολις, Χριστῷ προσανέγκουσα, σὲ ἀπαρχὴν πανίερον, τῷ Παμβασιλεῖ διηνεκῶς μελῳδοῦντα. Οἱ παῖδες εὐλογεῖτε, Ἱερεῖς ἀνυμνεῖτε, λαὸς ὑπερυψοῦτε, Χριστὸν εἰς αἰῶνας.

*Καὶ νῦν.*

Μήτηρ Θεοῦ Πανάμωμε, τῆς ψυχῆς μου τὰ τραύματα, καὶ τῆς ἁμαρτίας τὰς οὐλὰς ἐξάλειψον. Υἱὸν γὰρ ἐγέννησας, τὴν ἐξουσίαν ἔχοντα τοὺς πεπαιδευμένους ταῖς σειραῖς τῶν πταισμάτων, εὐκόλως ἀνιέναι τῶν δεσμῶν τῶν ἀλύτων τὸν μόνον εὐεργέτην, καὶ μόνον ζωοδότην.

*Ὠδὴ Θ'. Ὑπεραγία Θεοτόκε σῶσον ἡμᾶς. Ἦχος Δ'.*

Ἅπας γηγενής, ἀγάλλου τῷ πνεύματι λαμπαδοχούμενος. πα-

νηγυριζέτω δέ, πιστῶν ἁπάντων λαμπρὰ ὁμήγυρις, τὴν ἱεράν πανήγυριν, Σκέπης Μητρὸς τοῦ Θεοῦ, τῆς σκεπούσης, πάντας τοὺς θεόφρονας, καὶ φρουρούσης ἐκ πάσης κακώσεως.

Σκέπην τὴν σεπτὴν τιμῶμεν σου Δέσποινα τὴν ἡλιόμορφον, χαῖρε πρὸς σὲ λέγοντες, τὸ τοῦ Ὑψίστου θεῖον παλάτιον· χαῖρε νεφέλη ἔμψυχε, τὸν νοητὸν Ἰσραήλ, ὁδηγοῦσα, πρὸς θείαν κατάπαυσιν, οὐρανῶν βασιλείας Πανύμνητε.

Σκέπη κραταιά, ὑπάρχεις Παντάνασσα, σκέπουσα ἅπαντας τοὺς προσκαλουμένους σε τὴν ἀπροσμάχητον χάριν πάντοτε· δικαιοσύνης ἥλιον καὶ γὰρ ἐκύησας. τὸν τῆς πλάνης. νέφη διαλύσαντα, καὶ τὸ φῶς ἀληθείας αὐγάσαντα.

Ὅλης ἐκ ψυχῆς, συνδράμωμεν σήμερον, πάντες φιλόχριστοι, τῇ πανδήμῳ ἑορτῇ, τῆς θείας Σκέπης τῆς Θεομήτορος, ὡς δι' αὐτῆς σκεπόμενοι καὶ συντηρούμενοι, ἀνυμνοῦντες, ταύτης τὴν ἀντίληψιν, καὶ γεραίρωντες χάριν τὴν ἄφθονον.

*Ὠδὴ θ'. Ἅγιε τοῦ Θεοῦ, πρέσβευε ὑπὲρ ἡμῶν. Ἦχος Π. Δ'.*

Ἁγίων Ἀποστόλων ἀξιωθείς, θεατὴς χρηματίσαι καὶ σύμπονος, συγκοινωνός, γέγονας τῆς δόξης καὶ σὺν αὐτοῖς, ἐπὶ τὴν θείαν ἔσπευσας σώματος τοῦ ὄντως ζωαρχικοῦ, τῆς μόνης Θεοτόκου, καὶ σεβασμιωτάτης· ἣν ἐπαξίως μεγαλύνομεν.

Τῆς θείας βασιλείας ἐν οὐρανοῖς. κληρονόμος ἐγένου, ὡς ἔννομος, Ἀρχιερεύς, Πάτερ ὡς ἀήττητος ἀθλητής, ἱερωσύνης χρίσματι, αἷμα συγκεράσας μαρτυρικόν· διὸ διπλοῦς στεφάνους, ἀπείληφας ἀξίως ἱερομύστα Διονύσιε. (Δόξα πατρὶ)

Ὡς ἔχων παῤῥησίαν πρὸς τὸν Θεόν, Ἱεράρχα σοφὲ Διονύσιε, διὰ παντὸς πρέσβευε ῥυσθῆναι ἐκ πειρασμῶν, τοὺς εὐσεβῶς ὑμνοῦντάς σε, μύστα τῶν ἀῤῥήτων θεωριῶν, ὡς τῆς κρυφιομύστου, καὶ θεαρχικωτάτης, ἱεροφάντης ἀγαθότητος. Καὶ νῦν

Νικῶσαν τὰς αἱρέσεις θριαμβικῶς, τὴν σεπτὴν Ἐκκλησίαν ἀνάδειξον, ἣν ὁ Χριστὸς αἵματι τιμίῳ τῷ ἑαυτοῦ, ὡς ἀγαθὸς ἐκτήσατο, Κεχαριτωμένη ὁ σὸς υἱός, καὶ σῶσον ἐκ κινδύνων, καὶ τῆς ἀμηχανίας, τῆς κατεχούσης ἡμᾶς λύτρωσαι.

*Αἱ Καταβασίαι εἰς Ἦχον Δ'. Τῆς Θεοτόκου, Ὠδὴ Α'.*

Ἀνοίξω τὸ στόμα μου, καὶ πληρωθήσεται Πνεύματος· καὶ λόγον ἐρεύξομαι τῇ Βασιλίδι Μητρί· καὶ ὀφθήσομαι φαιδρῶς πα-



νηγυρίζων· καὶ μέλψω γηθόμενος, Σκέπην τὴν πάντιμον.

Ὠδὴ Γ'.

Τοὺς σοὺς ὑμνολόγους Θεοτόκε, ὡς ζῶσα καὶ ἄφθονος πηγή, θίασον συγκροτήσαντας, πνευματικὸν στερέωσον· καὶ Σκέπη τῇ ἁγίᾳ σου, τοὺς σὲ γεραίονοτας σκέπασον. Ὠδὴ Δ'.

Ὁ καθήμενος ἐν δόξῃ ἐπὶ θρόνου θεότητος· ἐν νεφέλῃ κούφῃ, ἦλθεν Ἰησοῦς ὁ ὑπέρθεος, τῇ ἀκηράτῳ Παρθένῳ καὶ διέσωσε· τοὺς τὴν Σκέπτην νῦν, αὐτῆς τὴν θείαν δοξάζοντας.

(Ὠδὴ Ε'.)

Ἐξέστη τὰ σύμπαντα, ἐπὶ τῇ θείᾳ δόξῃς σου· σὺ γὰρ ἀπειρόγαμε Παρθένε, ἐν Βλαχεινῶν σου τῷ Ναῷ, ἐφήπλωσας Σκέπης σου σεπτήν, καὶ πιστοὺς ἐσκέπασας, σωτηρίαν βραβεύουσα.

(Ὠδὴ ΣΤ'.)

Τὴν θείαν ταύτην καὶ πάντιμον τελοῦντες ἑορτὴν οἱ θεόφρονες, τῆς θείας σκέπης αὐτῆς, δεῦτε τὰς χεῖρας κροτήσωμεν, τὸν ἐξ αὐτῆς τεχθέντα Θεὸν δοξάζοντες.

(Ὠδὴ Ζ'.)

Οὐκ ἐλάτρευσαν τῇ κτίσει οἱ θεόφρονες, παρὰ τῷ κτήσαντα· ἀλλὰ πυρὸς ἀπειλήν, ἀνδρείως πατήσαντες, χαίροντες ἔψαλον· Ὑπερύμνητε ὁ τῶν Πατέρων Κύριος, καὶ ὁ Θεὸς εὐλογητὸς εἶ.

*Ὠδὴ Η'. Αἰνοῦμεν εὐλογοῦμεν καὶ προσκυνοῦμεν τὸν Κύριον.*

Παῖδας εὐαγεῖς ἐν τῇ καμίνῳ, ὁ τόκος τῆς Θεοτόκου διεσώσατο· τότε μὲν τυπούμενος, νῦν δὲ ἐνεργούμενος, τὴν οἰκουμένην ἅπασαν ἐγείρει ψάλλουσαν· τὸν Κύριον ὑμνεῖτε τὰ ἔργα καὶ ὑπερυψοῦτε εἰς πάντας τοὺς αἰῶνας.

Ἄγγελοι τὴν Σκέπην τῆς Θεοτόκου, ἐν ὕμνοις μεγαλύνουσιν, ὅτι πιστῶν τὰς χορείας, ἁπανταχοῦ περισκέπει.

Ἅπας γηγενής, σκιρτάτω τῷ Πνεύματι, λαμπαδοχούμενος, πανηγυριζέτω δέ, ἀΰλων νόων φύσις γεραίρουσα, τὴν ἱερὰν πανήγυριν τῆς Θεομήτορος, καὶ βοάτω, χαίροις Παμμακάριστε, Θεοτόκε Ἁγνὴ ἀειπάρθενε.

*Ἐξαποστειλάριον ·Τοῖς Μαθηταῖς συνέλωμεν.*

Τῷ Παύλῳ Διονύσιε, τῷ κλεινῷ Κορυφαίῳ, μαθητευθεὶς πανόλβιε, ὑπ' αὐτοῦ ἐμυήθης, τῶν ἀποκρύφων τὴν γνῶσιν, ὅθεν σε καὶ λαμπτῆρα, τῇ Ἐκκλησίᾳ τίθησιν, Ἀθηνῶν προχειρίσας, τῆς εὐσεβοῦς Ἱεράρχην πόλεως· ἣν φυλάττεις ὀρθοδοξοῦσαν-

πάνσοφε, σαῖς εὐχαῖς θεοκῆρυξ.

Ἐν τῇ σεπτῇ Κοιμήσει σου, Παναγία Παρθένε, παρῆν ὁ Διονύσιος, σὺν τῷ Ἱεροθέῳ, καὶ Τιμοθέῳ τῷ θείῳ, ἅμα τοῖς Ἀποστόλοις, ἕκαστος ὕμνον ᾄδοντες, πρόσφορον τῇ σῇ μνήμῃ· μεθ' ὧν καὶ νῦν, πᾶσα γλῶσσα βρότειος ἀνυμνεῖ σε τὴν τοῦ Θεοῦ λοχεύτριαν καὶ τοῦ κόσμου προστάτιν.

*Εἰς τοὺς Αἴνους Ἦχος Α'. Ὢ τοῦ παραδόξου θαύματος.*

Ὢ τῆς πανσθενοῦς δυνάμεως, τῆς ἡμῶν ἀδελφοί, ὀρθοδόξου πίστεως. τοῦ Παύλου γὰρ ἐμφανῶς, τοῦ ταύτης κήρυκος, σπουδαῖος ὁμιλητὴς ὁ βουλευτὴς Διονύσιος δείκνυται, ὁ ἔξοχος τῶν σοφῶν τοῦ ἰδιώτου τῷ λόγῳ οὐ τρόπῳ δέ, ὑπὲρ λογικὰς μεθόδους, ὥς φησὶ Βασίλειος, τὴν καρδίαν ὡς πίστις ἕλκει, γὰρ εἰς συγκατάθεσιν.

Βαβαὶ τῆς σῆς σωτηρίας σοφέ. οὐρανοῦ γὰρ πύλας διελθὼν ἐν πνεύματι, θεάμων τῶν ἐν αὐτῷ, ὁμοῦ ἐκφάντωρ τε, ἐγένου ἐμφαντικός, καὶ διατάκτωρ, θεόφρον· πανάριστος, παρίστησιν ἀκριβῶς τὴν ἐπιστήμην καὶ ὕφος τῶν λόγων σου ἃ περὶ τῶν θείων, Πάτερ ὀνομάτων, ἅμα δέ, τῶν αὔλων ταγμάτων Διονύσιε ξυντέθεικας.

Τῆς σῆς ἐνδόξου ἀθλήσεως, τὴν ἁγίαν μνήμην, καὶ ἀξιοτίμητον, τιμῶσε χρεωστικῶς ἱερομάρτυς πιστοί. Ἑκάστου γὰρ ἐξηγεῖς τῶν ἱερῶν μυστηρίων τὴν δύναμιν ἀνάγεις πρὸς τούτων δέ, τὴν θεωρίαν ἐνδότερον ἄγουσαν, καὶ προτρεπομένην βλέπειν ὀρεκτῶν βαθύτερον προνοῶν ὑπὲρ πάντων τῶν πιστῶν φιλανθρωπότατα.

*1. Τοῦ Πλ. Α'. Ὢ τοῦ παραδόξου θαύματος.*

Ὡς τοῦ παραδόξου θαύματος. τῶν ἐν Ἀθήναις κομψῶν, καὶ ῥητόρων τὸ ἄθεον, εἰς ὁδὸν μετέτρεψεν, εὐσεβείας τὸ πάνσοφον, τοῦ Παύλου στόμα τοῦ θεοκήρυκος, πρῶτον δὲ εἶχε οὐ τῇ Δαμάριδι, σὲ Διονύσιε, καὶ ποιμένα ἔδειξε, μεθ' οὗ καὶ νῦν πρέσβευε πρὸς Κύριον, ἐλεηθῆναι ἡμᾶς.

*Δόξα Ἦχος Πλ. Β'.*

Ἱεραρχῶν τὴν ἀπαρχήν, καὶ ἀθλοφόρων κλέος, τὸν ἐπίγειον Ἄγγελον, καὶ οὐράνιον ἄνθρωπον, Διονύσιον μακαρίσωμεν, οὗτος γὰρ τῶν κάτω χωρίσας τὸν νοῦν, τοῖς ἄνω περιεπόλευσεν, ὡς Παῦλος ἁρπαγεὶς καὶ ἄρρητα, ὡς ἐκεῖνος ἤκουσε ῥήματα· τὰ ὑπὲρ κατά-



ληψιν μεμύηται· Ὅθεν καὶ διδάσκαλος ἡμῖν τῶν ἐπουρανίων γεγένηται· καὶ τῶν καθ' ἡμᾶς μυστηρίων ἐξηγητής, εἰς θεωρίας ἀναβιβάζων ὕψος καὶ θεώσεως, ἧς περ μετέσχε πλήρους. Ἀλλ' ὦ θεία καὶ ἱερὰ κεφαλή, μετὰ πάντων ἁγίων ἐν οὐρανοῖς αὐλιζόμενος, καὶ τῷ θρόνῳ τῆς μεγαλοσύνης παρεστώς, μὴ ἐλλείπῃς ἔλεων ἡμῖν τὸν φιλάνθρωπον ἀπεργαζόμενος.

*Καὶ νῦν Ἦχος Πλ. Α'.*

Ὅπου ἐπισκιάσει ἡ Σκέπη σου Πανάχραντε, ἐκεῖθεν τοῦ διαβόλου διώκεται ἡ δύναμις· πᾶς δὲ πιστὸς σώζεται ὁ ταύτην προσκαλούμενος· ἐπὶ καὶ ἡμεῖς τῇ ἀστραπομόρφῳ αὐτῆς αἴγλῃ προστρέχοντες ταῖς τοῦ Πνεύματος ρανίσι καθωραϊζόμενοι, καὶ μυρεπνόου χάριτος ὀσφρανθέντες, πνευματικῶς εὐφραινόμεθα, τὰς ἀκτινοβόλους ἀστραπὰς τῶν θαυμάτων ἀπαρυόμενοι· ἀνεξάντλητος καὶ γὰρ ἡ πηγὴ τῶν ἀγαθῶν αὐτῆς πόλει, καὶ ἀέναος ἡ προχοὴ τῶν ἰαμάτων βραβεύεται· καὶ δεόμεθα ἐκτενῶς· σκέπασον ἡμᾶς Πανεύσπλαχνε, ἐν ὥρᾳ τῆς κρίσεως, καὶ λύτρωσε τοὺ ταπεινοὺς ἡμᾶς τῶν αἰωνίων βασάνων· οὐδὲν γὰρ ἀδύνατον τῇ μεσιτείᾳ σου.

*Δοξολογία μεγάλην. Εἰς τὴν Λειτουργίαν. Ἀπολυτίκιον Ἦχος Δ'.*

Χριστότητα ἐκδιδαχθεὶς καὶ νήφων ἐν πᾶσιν ἀγαθὴν συνείδησιν ἱεροπρεπῶς ἐνδυσάμενος ἤντλησας, ἐκ τοῦ σκεύους τῆς ἐκλογῆς τὰ ἀπόρρητα καὶ τὴν πίστιν τηρήσας, τὸν ἴσον δρόμον τετέλεκας, ἱερομάρτυς Διονύσιε, πρέσβευε Χριστῷ τῷ Θεῷ σωθῆναι τὰς ψυχὰς ἡμῶν.

*Ἕτερον τοῦ Ἁγίου. Ἦχος Πλ. Α'.*

Τὸν σοφὸν ἱεράρχην, πιστοὶ τιμήσωμεν, Διονύσιον ὕμνοις αὐτὸν γεραίροντες, ὡς πολιοῦχον Ἀθηνῶν καὶ ἀντιλήπτορα, ὡς σοφὸν ὑφηγητήν, καὶ σαφῆ ἑρμηνευτήν, τῆς ἄνω μυσταγωγίας καὶ ὡς εὐχαῖς αὐτοῦ πᾶσιν ἡμῖν δωρηθῆναι τὸ μέγα ἔλεος.

*Τὸ Ἀπολυτίκιον τοῦ Ναοῦ. Κοντάκιον τοῦ Ἁγ. Ἦχος Πλ. Δ'.*

*Τῇ ὑπερμάχῳ...*

Τὰς οὐρανίας, διέβην πύλας ἐν πνεύματι, μαθητευθείς, τῷ ὑπὲρ τρεῖς οὐρανοὺς φθάσαντι, ἀποστόλῳ Διονύσιε τῶν ἀρρήτων, ἐπλουτίσθης πᾶσαν γνῶσιν καὶ κατηύγασας, τοὺς ἐν σκότει ἀγνωσίας πρὶν καθεύδοντας· διὸ κράζομεν. Χαῖρε Πάτερ παγκόσμιε.

*Καὶ τὸ κοντάκιον τῆς Ἁγίας Σκέπης Ἦχος ὁ αὐτὸς Πλ. Δ'.*

Τῇ Θεοτόκῳ οἱ πιστοὶ νῦν προσπελάσωμεν, καὶ τὸ Μαφώριον αὐτῆς κατασπασώμεθα, ἀναμέλποντες εὐφώμια κατὰ χρέος· Σκέ-

ΕΙΟΣ ΒΙΒΛΙΟ… ΣΥΛΛΟΓΗ ΝΤΟΡΗΣ ΠΑΠΑΣΤ…

πη πάλαι γάρ, πιστοὺς σκέπουσα ἅπαντας, καὶ φρουροῦσα ἐκ παντοίων περιστάσεων, τοὺς κραυγάζοντας, Χαῖρε Σκέπη ὀλόφωτε.

**Ὁ Ἀπόστολος. Προκείμενον Ἦχος βαρύς.**

*Καυχήσονται Ὅσιοι ἐν δόξῃ. Στίχ. Ἄσατε τῷ Κυρίῳ ᾆσμα καινόν.*

***Πράξεων τῶν Ἀποστόλων τὸ Ἀνάγνωσμα.***

Ἐν ταῖς ἡμέραις ἐκείναις, ἐν ταῖς Ἀθήναις ἐκδεχομένου αὐτοῦ τοῦ Παύλου, παρωξύνετο τὸ πνεῦμα αὐτοῦ ἐν αὐτῷ, θεωροῦντι κατείδωλον οὖσαν τὴν πόλιν. Διελέγετο μὲν οὖν ἐν τῇ συναγωγῇ τοῖς Ἰουδαίοις καὶ τοῖς σεβομένοις, καὶ ἐν τῇ ἀγορᾷ κατὰ πᾶσαν ἡμέραν πρὸς τοὺς παρατυγχάνοντας. Τινὲς δὲ τῶν ἐπικουρείων καὶ τῶν Στεϊκῶν φιλοσόφων συνέβαλλον αὐτοὺς καί τινες ἔλεγον. Τί ἂν θέλει ὁ σπερμολόγος οὗτος λέγειν; Οἱ δέ· Ξένων δαιμονίων δοκεῖ καταγγελεὺς εἶναι· ὅτι τὸν Ἰησοῦν καὶ τὴν Ἀνάστασιν αὐτοῖς εὐηγγελίζετο. Ἐπιλαβόμενοι τε αὐτοῦ, ἐπὶ τὸν Ἄρειον Πάγον ἤγαγον λέγοντες. Δυνάμεθα γνῶναι τίς ἡ καινὴ αὕτη ἡ ὑπὸ σοῦ λαλουμένη διδαχή, ξενίζοντα γάρ τίνα εἰσφέρεις εἰς τὰς ἀκοὰς ἡμῶν· βουλόμεθα οὖν γνῶναι τί ἂν θέλει ταῦτα εἶναι. (Ἀθηναῖοι δὲ πάντες καὶ οἱ ἐπιδημοῦντες ξένοι, εἰς οὐδὲν ἕτερον εὐκαίρουν, ἢ λέγειν τι καὶ ἀκούειν καινότερον). Σταθεὶς δὲ ὁ Παῦλος ἐν μέσῳ τοῦ Ἀρείου Πάγου, ἔφη· Ἄνδρες Ἀθηναῖοι κατὰ πάντα ὡς δεισιδαιμονεστέρους ὑμᾶς θεωρῶ. Διερχόμενος γὰρ καὶ ἀναθεωρῶν τὰ σεβάσματα ὑμῶν; εὗρον καί βωμόν, ἐν ᾧ ἐπεγέγραπτο, «Ἀγνώστῳ Θεῷ.» Ὃν οὖν ἀγνοοῦντες εὐσεβεῖτε, τοῦτον ἐγὼ καταγγέλλω ὑμῖν: Ὁ Θεὸς ὁ ποιήσας τὸν κόσμον, καὶ πάντα τὰ ἐν αὐτῷ, οὗτος οὐρανοῦ καὶ γῆς Κύριος ὑπάρχων, οὐκ ἐν χειροποιήτοις ναοῖς, κατοικεῖ, οὐδὲ ὑπὸ χειρῶν ἀνθρώπων θεραπεύεται, προσδεόμενός τινος. αὐτὸς διδοὺς πᾶσι ζωὴν καὶ πνοὴν καὶ τὰ πάντα. Ἐποίησε τε ἐξ ἑνὸς αἵματος πᾶν ἔθνος ἀνθρώπων κατοικεῖν ἐπὶ πᾶν τὸ πρόσωπον τῆς γῆς, ὁρίσας προτεταγμένους καιρούς, καὶ τὰς ὁροθεσίας τῆς κατοικίας αὐτῶν· ζητεῖν τὸν Κύριον, εἰ ἄραγε ψηλαφήσειεν αὐτὸν καὶ εὕροιεν, καί τιγε οὐ μακρὰν ἀπὸ ἑνὸς ἑκάστου ἡμῶν ὑπάρχωντα. Ἐν αὐτῷ γὰρ ζῶμεν καὶ κινούμεθα, καὶ ἐσμέν· ὡς καί τινες τῶν καθ' ἡμᾶς ποιητῶν

Σημείωσις. Ἐτέθησαν τὰ Ἀπολυτίκια καὶ τὰ Κοντάκια ὁμοῦ πρὸς εὐκολίαν ἐν ταῖς ὥραις ἀναγινωσκόμενα, ὡς καὶ τῆς Ἁγίας Σκέπης 1 Ὀκτωβρίου, πρὸς τιμὴν τῆς Θεοτόκου.



εἰρήκασι. τοῦ γὰρ καὶ γένος ἐσμέν. Γένους οὖν ὑπάρχοντες τοῦ Θεοῦ, οὐκ ὀφείλομεν νομίζειν χρυσῷ ἢ ἀργυρίῳ ἢ λίθῳ χαράγματι τέχνης καὶ ἐνθυμήσεως ἀνθρώπου, τὸ θεῖον εἶναι ὅμοιον. Τοὺς μὲν οὖν χρόνους τῆς ἀγνωσίας ὑπεριδὼν ὁ Θεός, τὰ νῦν παραγγέλει τοῖς ἀνθρώποις πᾶσι πανταχοῦ μετανοεῖν· διότι ἔστησεν, ἡμέραν ἐν ᾗ μέλλει κρίνειν τὴν οἰκουμένην ἐν δικαιοσύνῃ, ἐν ἀνδρὶ ᾧ ὥρισε, πίστιν παρασχὼν πᾶσιν, ἀναστήσας αὐτὸν ἐκ νεκρῶν. Ἀκούσαντες δὲ ἀνάστησιν νεκρῶν· οἱ μὲν ἐχλεύαζον· οἱ δὲ εἶπον. Ἀκουσόμεθα σου πάλιν περὶ τούτου. Καὶ οὕτως ὁ Παῦλος ἐξῆλθεν ἐκ μέσου αὐτῶν. Τινὲς δὲ ἄνδρες κολληθέντες αὐτῷ ἐπίστευσαν· ἐν οἷς καὶ Διονύσιος ὁ Ἀρεοπαγίτης καὶ γυνὴ ὀνόματι Δάμαρις, καὶ ἕτεροι σὺν αὐτοῖς . .

***Ἀλληλούϊα.***

***Οἱ Ἱερεῖς σου Κύριε ἐνδύσονται δικαιοσύνην.***

***Στίχ. Ὅτι ἐξελέξατο Κύριος τὴν Σιών.***

**Εὐαγγέλιον ἐκ τοῦ κατὰ Ματθαῖον. Παρασκευὴ τῆς Α'. Ἑβδομάδος.**

Εἶπεν ὁ Κύριος τὴν παραβολὴν ταύτην. Ὁμοία ἐστὶν ἡ βασιλεία τῶν οὐρανῶν θησαυρῷ κεκρυμμένῳ ἐν τῷ ἀγρῷ, ὃν εὑρὼν ἄνθρωπος ἔκρυψε, καὶ ἀπὸ τῆς χαρᾶς αὐτοῦ ὑπάγει. καὶ πάντα ὅσα ἔχει πωλεῖ, καὶ ἀγοράζει τὸν ἀγρὸν ἐκεῖνον. Πάλιν ὁμοία ἐστίν, ἡ βασιλεία τῶν οὐρανῶν ἀνθρώπῳ ἐμπόρῳ, ζητοῦντι καλοὺς μαργαρίτας· ὃς εὑρὼν ἕνα πολύτιμον μαργαρίτην. ἀπελθὼν πέπρακε πάντα ὅσα εἶχε, καὶ ἠγόρασεν αὐτόν. Πάλιν ὁμοία ἐστίν, ἡ βασιλεία τῶν οὐρανῶν σαγήνῃ βληθείσῃ εἰς τὴν θάλασσαν, καὶ ἐκ παντὸς γένους συναγαγούσῃ· ἥν, ὅτε ἐπληρώθη, ἀναβιβάσαντες ἐπὶ τὸν αἰγιαλόν, καὶ καθίσαντες συνέλεξαν τὰ καλὰ εἰς ἀγγεῖα, τὰ δὲ σαπρὰ ἔξω ἔβαλλον. Οὕτως ἔσται ἐν τῇ συντελείᾳ τοῦ αἰῶνος· ἐξελεύσονται οἱ Ἄγγελοι, καὶ ἀφοριοῦσι τοὺς πονηροὺς ἐκ μέσου τῶν δικαίων, καὶ βαλοῦσιν αὐτοὺς εἰς τὴν κάμινον τοῦ πυρός, ἐκεῖ ἔσται ὁ κλαυθμὸς καὶ ὁ βρυγμὸς τῶν ὀδόντων. Λέγει αὐτοῖς ὁ Ἰησοῦς. Συνήκατε ταῦτα πάντα; Λέγουσι αὐτῷ. Ναὶ Κύριε· Ὁ δὲ εἶπεν αὐτοῖς. Διὰ τοῦτο πᾶς γραμματεύς, μαθητευθεὶς εἰς τὴν βασιλείαν τῶν οὐρανῶν, ὅμοιος ἐστὶν ἀνθρώπῳ οἰκοδεσπότῃ, ὅστις ἐκβάλλει ἐκ τοῦ θησαυροῦ αὐτοῦ καινὰ καὶ παλαιά. Καὶ ἐγένετο ὅτε ἐτέλεσεν ὁ Ἰησοῦς τὰς παραβολὰς ταύτας, μετῆρεν

ΠΑΝΕΛΛΗΝΙΟΣ ΒΙΒΛΙΟΘΗΚΗ ... ΚΤΗΤΟΡΗΣ ΠΑΠΑΣ...

ἐκεῖθεν. Καὶ ἐλθὼν εἰς τὴν Πατρίδα αὐτοῦ, ἐδίδασκεν αὐτούς, ἐν τῇ συναγωγῇ αὐτῶν. . .

*Εἰς τὰ Δίπτυχα τὰ Παρόντα Μεγαλυνάρια*

Τὸν Οὐρανομύστην καὶ ἀθλητήν, τῶν ὑπερφυῶν τε μυστηστηρίων ἑρμηνευτήν. τὸν θεῖον φωστῆρα, καὶ Λειτουργὸν Κυρίου, τιμήσωμεν ἐκ πόθου, νῦν Διονύσιον.

Νῦν τὸν ὑψοπέτην καὶ θεωρόν,. τῶν ὑπερκοσμίων, γλῶσσαν ὄντως τὴν λιγυρῶς, ἡμῖν φθεγγομένην, ὀνόματι τῇ θεία, οἱ πάντες τὸν Διονύσιον.

*Ἀντὶ τοῦ Κοινωνικοῦ: Ὁ σύντομος Βίος τοῦ Ἁγίου*

**Εὐλόγησον Πάτερ**

Οὗτος ὁ Ἅγιος καὶ ἔνδοξος Ἱερομάρτυς Διονύσιος, ἦτο, γέννημα καὶ θρέμμα τῆς πόλεως Ἀθηνῶν, εἷς ἐκ τῶν 9 βουλευτῶν τῆς βουλῆς τοῦ Ἀρείου Πάγου, τοῦ περιβοήτου δικαστηρίου δι᾽ αὐτό, καὶ Ἀρεοπαγίτης ὀνομάζετο ἀγαπῶν τὴν δικαιοσύνην καὶ ἀλήθειαν, ἔχων μεγάλην ἀρετήν, ὅπου ὑπερέβαινε τοὺς ἄλλους, καὶ εἰς τὴν σύνεσιν καὶ σοφίαν· ἔχων ἀρκετὸν πλοῦτον, καὶ μεγάλην δόξαν, ἐν τῇ κοινωνία τῶν Ἀθηνῶν, ὑπῆρξε δὲ εἰς τὴν ἐποχὴν ἐκείνην τῶν Ἁγίων Ἀποστόλων σύγχρονος, διότι εἶδε ὅλα τὰ μυστήρια τῆς θεότητος τὸ σκοτισμὸν τοῦ ἡλίου, τὴν μεγάλην ἡμέραν τῶν φρικτῶν τῶν Ἁγίων τοῦ Κυρίου Παθῶν: Διὰ τῆς σοφίας του ἐγνώρισε τὸ πρᾶγμα καὶ εἶπεν· Ὅτι σήμερον ἢ Θεὸς πάσχει, ἢ τὸ πᾶν ἀπόλλυται, εὑρισκόμενος εἰς Ἡλιούπολιν, ὅπου εἶδε τὰ τοιαῦτα μυστήρια τῆς Θεότητος λέγων εἰς τοὺς ἄλλους φιλοσόφους.

Ἐλθόντος τοῦ Ἀποστόλου Παύλου εἰς Ἀθήνας, καὶ κηρύττοντος τὸν Χριστὸν θεὸν ἀληθῆ, καὶ διαλεγομένου, περὶ Ἀναστάσεως νεκρῶν, ἀπεδέχθη τὸ κήρυγμα, γενόμενος μαθητὴς τοῦ Ἀποστόλου Παύλου, χειροτονηθεὶς ἐπίσκοπος Ἀθηνῶν. Παρευρέθη δέ, καὶ εἰς τὴν Κοίμησιν τῆς Θεοτόκου, μετὰ τῶν λοιπῶν Ἀποστόλων, ἔγραψε διαφόρους λόγους, καὶ ἐγκώμια εἰς τὴν Ἄνασσαν Δέσποιναν, καὶ περὶ οὐρανίου ἱεραρχίας, καὶ περὶ θείων ἰδιοτήτων. Ἔπειτα ἀπῆλθεν εἰς τὴν Ρώμην μετὰ εἰς τὴν Γαλλίαν, κηρύττων παρρησία τὸν Χριστὸν θεὸν ἀληθινόν, ὅπου ἐκεῖ ἀπετμήθη τὴν κεφαλὴν ἐν ἔτει 82, μετὰ τῶν 2 αὐτοῦ Μαθητῶν Ρωστικοῦ καὶ Ἐλευθερίου.

Ἡ Ἁγία του Κάρα, εὑρίσκεται εἰς τὴν μονὴν Δοχειαρίου,



(Ἁγίου Ὄρους) ἀφιερωθεῖσα ἐκεῖ διὰ Χρυσοβόλλου βασιλικοῦ, ὑπὸ τοῦ Αὐτοκράτορος Ἀλεξίου τοῦ Κομνηνοῦ, οὗ αὐτοῦ πρεσβείας καὶ τῆς Θεοτόκου, καὶ πάντων τῶν Ἁγίων, ἐλεῆσαι ἡμᾶς Ἀμήν.

(Σημείωσις) Ἡ πρωτεύουσα τοῦ Βασιλείου, αἱ κλιναὶ Ἀθῆναι, τώρα ἐσχάτως ηὐτήχησαν νὰ κάμουν Ναὸν ἐπ᾽ ὀνόματι τοῦ Ἁγίου Διονυσίου, ὅπου ἡ ἑορτὴ αὕτη δυστυχῶς ἀμελεῖ τε εἰς τὸν τόπον καὶ πατρίδα τοῦ Ἁγίου ὅπου ζῶμεν. Τὰ αἴτια τῆς ἀδιαφορίας ταύτης, δὲν δύναμαι νὰ τὰ ἐνοήσω, διατὶ εἰς ἄλλα μέρη νὰ ἐγκωμιάζονται οἱ Ἅγιοι,καὶ ἐδῶ νὰ μὴ γνωρίζουν οὔτε τὴν ἑορτὴν τοῦ πολιούχου τῆς πατρίδος μας τοῦ Ἁγίου Διονυσίου, ἂς τὸ σκεφθῶμεν καλῶς εἶναι λυπηρὸν τὸ τοιοῦτον, οὕτω πῶς κρίνω τὰ πράγματα, καὶ οἱ ἀνώτεροι μου ἂς λάβουν τὰ καταλληλότερα μέτρα, περὶ τῆς ἑορτῆς ταύτης νὰ καθιερωθῇ αὐστηρὰ ἀργία τὴν ἡμέραν ταύτην.

*Γ. Α. Βουτέρης*
*Ἱερεὺς*

*Πολυέλεος Ἁγίας Σκέπης. 1 Ὀκτωβρίου Ἐν πόλει τοῦ θεοῦ ἡμῶν*
*Ἀλληλούϊα*

**Μ**έγας Κύριος καὶ αἰνετός, σφόδρα Κύριον τῶν Δυνάμεων ἐν πόλει τοῦ θεοῦ ἡμῶν. Ἀλληλούϊα

**Ἀ**νήγγειλαν οἱ οὐρανοί, τὴν δικαιοσύνην αὐτοῦ, καὶ εἴδοσαν πάντες οἱ λαοὶ τὴν δόξαν αὐτοῦ. Ἀλληλούϊα

**Δ**εδοξασμένα ἐλαλήθη περὶ σοῦ, ἡ πόλις τοῦ Θεοῦ.
Ἀλληλούϊα

**Ἅ**γιος ὁ Ναός σου, θαυμαστὸς ἐν δικαιοσύνη.

**Ἁ**γιωσύνη καὶ μεγαλοπρέπεια ἐν τω ἁγιάσματι αὐτοῦ.
Ἀλληλούϊα

**Ὡ**δήγησεν αὐτούς, ἐν νεφέλῃ ἡμέρας, καὶ ὅλην τὴν νύκτα ἐν φωτισμῷ πυρός. Ἀλληλούϊα

**Σ**κεπασθήσομε ἐν σκέπη των πτερυγων σου.

**Δ**ιεπέτασε νεφέλην εἰς σκέπην αὐτοῖς, καὶ πῦρ τοῦ φωτίσαι αὐτοῦ τὴν νυκτα.

Κυριος φυλάξαι σε, Κυριος σκέπη σοι, ἐπὶ χεῖρα δεξιάν σου.
'Αλληλουϊα

Πᾶσα ἡ δόξα τῆς θυγατρός, τοῦ Βασιλέως ἔσωθεν.

Ὁ Θεὸς ἐν τόπῳ ἁγίῳ αὐτοῦ, καὶ ἐν τω Ναω αὐτοῦ, πως τις λέγει δόξαν.

Κυκλώσατε Σιών, καὶ περιλάβετε αὐτήν. 'Αλληλουϊα

'Αγαπᾶ Κυριος, τάς πυλας Σιών, ὑπὲρ πάντα τὰ σκηνώματα Ἰακώβ.

Ὄρος Σιὼν τοῦτο, ὁ κατασκηνώσας ἐν αὐτω.

Ποτήριον σωτηρίου λήψομαι καὶ τὸ ὄνομα Κυρίου ἐπικαλέσομαι.

Οἱ υἱοὶ των ἀνθρώπων ἐν σκέπη των πτερύγων σου ἐλπιοῦσι.

Χορτασθήσομαι ἐν τω ὀφθῆναι μοι τὴν δόξαν σου.
'Αλληλουϊα

'Εν σκέπη των πτερυγων σου σκεπάσεις με, ἀπὸ ἐχθρων των ταλαιπωρησάντων με.

Τω οἴκω σου πρέπει ἁγίασμα, Κυριε, εἰς μακρότητα ἡμερῶν.

Μνησθήσομαι του ὀνοματός σου, ἐν πάσῃ γενεᾷ καὶ γενεᾷ.
'Αλληλουϊα

Τὸ πρόσωπόν σου λιτανεύουσιν οἱ πλούσιοι τοῦ λαοῦ.
'Αλληλούϊα

Διὰ τοῦτο λαοὶ ἐξομολογήσονταί σοι εἰς τὸν αἰῶνα, καὶ εἰς τὸν αἰῶνα τοῦ αἰῶνος. 'Αλληλούϊα (Δόξα)

Τὸν Πατέρα προσκυνήσωμεν, καὶ τὸν Υἱὸν δοξολογήσωμεν, καὶ τὸ Πανάγιον ὁμοῦ, Πνεῦμα ἀνυμνήσωμεν, κράζοντες καὶ λέγοντες. Παναγία τριὰς σῶσον πάντας ἡμᾶς. (Καὶ νῦν)

Τὴν Μητέρα σου προσάγει σοι, εἰς ἱκεσίαν ὁ λαός σου Χριστέ· ταῖς παρακλήσεσιν αὐτῆς τοὺς οἰκτιρμούς σου, δὸς ἡμῖν 'Αγαθέ· ἵνα σὲ δοξάζωμεν, τὴν ἐλπίδα τῶν ψυχῶν ἡμῶν.

---



**'Οκτωβρίου 4. Τοῦ ἐν 'Αγίοις Πατρὸς ἡμῶν Ἱεροθέου ἐπισκ. 'Αθηνῶν. (*)**

'Απολ. Ἦχος α'.

Τὸν Παῦλον μαθητήν τε, καὶ τῆς οἰκουμένης διδάσκαλον τὸν τῶν 'Αθηνῶν Ἱεράρχην, καὶ κήρυκα τῆς πίστεως, τὸν μέγαν καὶ πάνσοφον πιστοί, ἐκφάντορα τῶν μυστηρίων τοῦ Χριστοῦ Ἱερόθεον ἐν ὕμνοις χρεωστικῶς ἀνευφημήσωμεν ἅπαντες τὸν βλύσαντα ὡς νάματα ἡμῖν διδάγματα ἔνθεα σαφῶς, καὶ Θεὸν τῷ βίῳ εὐφράναντα, τὸν μόνον πολυέλεον.

Κοντάκιον Ἦχος πλ. Δ'. Τῇ ὑπερμάχῳ

Τὸν Ἱεράρχην 'Αθηνῶν ἀνευφημοῦμεν σε, ὡς μυηθέντες διὰ σοῦ ξένα καὶ ἄρρητα ἀνεδείχθης γὰρ θεόληπτος ὑμνολόγος ἀλλὰ πρέσβευε παμμάκαρ Ἱερόθεε, ἐκ παντοίων συμπτωμάτων ἡμᾶς ῥύσασθαι, ἵνα κράζωμεν· Χαίροις πάτερ Θεόσοφε.

Μεγαλυνάριον.

Τὸ τοῦ Παύλου τὸ θήραμα τὸ τερπνόν, τῇ ἄνω τραπέζῃ τὸ ἀξίως παραταθέν, τὸ τοὺς Οὐρανίους εὐφραίνων διαιτυμόνας, Ἱερόθεον τὸν πάνυ ὕμνοις τιμήσωμεν.

ΚΟΙΝΩΝΙΚΟΝ. Εἰς μνημόσυνον αἰώνιον ἔσονται δίκαιοι.
'Αλληλούϊα

ΠΕΡΙ ἀληθείας. Ἡ χάρις καὶ ἡ ἀλήθεια διὰ Ἰησοῦ Χριστοῦ ἐγένετο· ἐγὼ εἰμὶ ἡ ὁδὸς καὶ ἡ ἀλήθεια καὶ ἡ ζωὴ λέγει Κύριος· ἀληθείας ἐκζητεῖ ὁ Κύριος. Πλάτων, φίλος μου εἶσαι, ἀλλὰ ὁ Θεὸς εἶνε φίλτατός μου. Ὁ Σωκράτης διὰ τὴν ἀλήθειαν ἔπιε τὸ φαρμάκι καὶ ἀπέθανε· ὁ ῥήτωρ Κικέρων διὰ τὴν ἀλήθειαν ἐφονεύθη ὑπὸ Μάρκου 'Αντωνίου, καὶ ὁ Θεμιστοκλῆς ἔλαβε ῥάπισμα ἀπὸ τὸν αὐθάδη Εὐρυβιάδην.

(*) Εὑρίσκεται παρ' ἐμοὶ ἡ ἀκολουθία τοῦ Ἁγίου.

*Γεώργιος Α. Βουτέρης*
*Ἱερεὺς*

ΓΕΝΝΑΔΕΙΟΣ ΒΙΒΛΙΟΘΗΚΗ ΣΥΛΛΟΓΗ ΝΤΟΡΗΣ ΠΑΠΑΣΤΡΑΤΟΥ

### Ὀκτωβρίου 8. Τοῦ Ἁγίου ἐνδόξου Ὁσιομάρτυρος Ἰγνατίου τοῦ νέου ἀθλήσαντος ἐν Κωνσταντινουπόλει τὸ ἔτος 1814. Α΄.

Ἀπολυτίκιον Ἦχος Δ΄.

Τριπλῷ διαδήματι κατέστρεψέ σε Χριστός, ἀσκήσεως Ἅγιε καὶ μαρτυρίου σαφῶς. Ἰγνάτιε ἔνδοξε, θείας τε παρθενίας ἣν ἐτήρεις εἰς τέλος. Ὅθεν καὶ ἡ σοφός σου τῶν λειψάνων ἐλάννει, παθῶν καὶ νοσημάτων δεινῶν πάντες τοὺς μέλωπας.

Κοντάκιον Ἦχος Δ΄. Ὁ ὑψωθείς.

Τὸν ἐπὶ ξύλου διὰ σὲ κρεμασθέντα, προσεκμιμούμενος Χριστὸν θεομάκαρ, ἐπὶ τοῦ ξύλου ἤρθης κρεμασθεὶς ὁ στερρός. Ὅθεν ἀπηγχόνισαν ἐν χερσὶ τὴν εἰκόνα, φέρων παναοίδιμε, καὶ Σταυρὸν τοῦ Κυρίου, ὃν ἐκδυσώπει Ἅγιε ἡμᾶς, τοὺς σὲ τιμῶντας σωθῆναι Ἰγνάτιε.

Μεγαλυνάριον.

Φίλατε τοὺς δούλους διαπαντός, Ἰγνάτιε μάρτυς τοὺς τιμῶντας σε εὐλαβῶς καὶ πίστει καὶ πόθῳ, τελοῦντας σου τὴν μνήμην, ἀπὸ παντοίας βλάβης καὶ περιστάσεως.

Κοινωνικόν.

Εἰς μνημόσυνον αἰώνιον ἔσται δίκαιος. Ἀλληλούϊα

---

### 12. Ὀκτωβρίου

Τῶν ἁγίων μαρτύρων Πρόβου Ταράχου καὶ Ἀνδρονίκου, τῶν Ἁγίων 70 μαρτύρων, ἑτέρων μαρτύρων Ἰουβεντίνου, Μαξίμου, Δομίνης, Ἀναστασίας, Μαλφέθας, Ἀνθίας τῶν Ἁγίων Θεοδότου ἐπισκόπου Ἐφέσου, Ἀνδρομάχου, Διοδώρου, Ἰάσωνος. Καὶ τοῦ Ὁσίου καὶ θεοφόρου Πατρὸς ἡμῶν Συμεὼν τοῦ Νέου Θεολό-

---

Α΄. Ὑπάρχει Ἀκολουθία εἰς ἐμὲ τυπωθεῖσα ἐν Ἀθήναις τὸ 1862.

*Γεώργιος Α. Βουτέρης*
*Ἱερεὺς*



γου, μετατεθεῖσαν ἐκ τῆς 12 Μαρτίου διὰ τὸ πένθιμον τῆς Μ. Τεσσαρακοστῆς.

Ἀπολ. Ἦχος Γ΄.

Θείαν ἔλλαμψιν, Συμεὼν Πάτερ, εἰσδεξάμενος ἐν τῇ ψυχῇ σου, σωστὴρ ἐν κόσμῳ, ἐδείχθης λαμπρότατος, διασκεδάζων αὐτοῦ τὴν σκοτόμαιναν, καὶ πάντας πείθων ζητεῖν, ἣν ἀπώλεσαν, χάριν Πνεύματος. Αὐτὸν ἐκτενῶς ἱκέτευε, δωρήσασθε ἡμῖν τὸ μέγα ἔλεος.

Κοντάκιον Ἦχος Γ. Ἡ Παρθένος σήμερον.

Τῷ φωτὶ λαμπόμενος τῷ τρισηλίῳ θεόφρων, Θεολόγος γέγονας, τῆς ὑπερθέου Τριάδος, ἄνωθεν, σοφίαν λόγων καταπλουτήσας, ἔβλυσας, θεοσοφίας ἔνθεα ῥεῖθρα. Ἐξ ὧν πάντες βοῶμεν, χαίροις τρισμάκαρ Συμεὼν Ὅσιε.

Μεγαλυνάριον.

Δεῦτε τῆς Τριάδος τὸν ἐραστήν, καὶ Χριστοῦ τὸν μέγαν, ἐν Ὁσίοις καὶ λειτουργόν, Μοναστῶν τὸ κλέος καὶ Ἀσκητῶν τὴν δόξαν, τὸν Νέον Θεολόγον ὕμνοις τιμήσωμεν.

Κοινωνικόν

Εἰς μνημόσυνον αἰώνιον ἔσονται δίκαιοι. Ἀλληλούϊα

---

### 14 Ὀκτωβρίου τῶν Ἁγίων μαρτύρων Ναζαρίου, Γερβασίου Προτασίου, Κελσίου, ὁσίου Κοσμᾶ τοῦ ποιητοῦ, ἱερομάρτυρος Θεράποντος, ὁσίου Ἰγνατίου, καὶ τῆς Ἁγίας Ὁσιομάρτυρος Παρασκευῆς τῆς Ἐπιβατιανῆς.

Ἀπολυτίκιον Ἦχος Α΄. Ἐν Ἰορδάνῃ

Τῆς χαμαιζήλου τρυφῆς σοφῶς τὴν ἀπόλαυσιν, ὑπεριδοῦσα πρὸς θεῖα ἤρθης σκηνώματα, καὶ τῶν ἰάσεων τοῖς πιστοῖς πηγὴν

*Γεώργιος Α. Βουτέρης*
*Ἱερεὺς*

ΕΥΓΕΝΙΔΕΙΟΣ ΒΙΒΛΙΟΘΗΚΗ ΣΥΛΛΟΓΗ ΝΤΟΡΗΣ ΠΑΠΑΣΤΡΑΤΟΥ

κατέλυπες, τὸ ἱερόν σου σκῆνος, Μῆτερ πανεύφημε, Ἐπιβατῶν τὸ καύχημα τὸ σεπτόν, καὶ βεβαία προστάτις Παρασκευὴ Μὴ παύσης θερμῶς Χριστῷ τω Θεω, ὑπὲρ ἡμῶν ἀεὶ πρεσβεύουσα.

Κοντάκιον Ἦχος β'. Τὰ ἄνω ζητῶν.

Νηστείαις πολλαῖς τὸ σῶμα κατατήξασα, τὸν νοῦν πρὸς Θεὸν ἀνύψωσας μετάρσιον, καὶ ζωὴν ἀσώματον μετὰ σώματος ἔζης ἀοίδιμε, λυποῦσα τῆς ὕλης τὸν τάραχον· διὸ νῦν χορεύεις σὺν Ἀγγέλων χοροῖς.

Μεγαλυνάριον.

Ἔχεις τὸ σὸν πνεῦμα ὁ οὐρανός, σῶμα δὲ τὸ θεῖον Μολδαβίας πόλις λαμπρά, ναός σου δὲ πάλιν, ἡ σὴ Πατρὶς Ὁσία Παρασκευὴ Ὁσία σκέπε τοὺς δούλους σου.

Κοινωνικόν, εἰς μνημόσυνον αἰώνων ἔσονται δίκαιοι.
Ἀλληλούϊα.

---

**15. Ὀκτωβρίου τοῦ Ἁγίου μάρτυρος Λουκιανοῦ.**

Ἀπολυτίκιον Ἦχος Πλ. Α'.

Ὡς καλῶς στρατιώτης Χριστοῦ τὸν πάντων Θεοῦ, ἐν τῇ Χάριτι τούτου ἐνδυναμούμενος, ὅλον μετέθηκας σκυτόν, ἐν τῇ ἀγάπη αὐτοῦ, Λουκιανὲ θαυματουργέ, Μάρτυς ἔνδοξε Χριστοῦ, διὸ νομίμως ἀθλήσας, ἀξίως ἐστεφανώθης ὑπὲρ Κυρίου, τοῦ σὲ δοξάσαντος.

Κοντάκιον Ἦχος Β'. Τὴν ἐν πρεσβείας.

Τὸν ἐν ἀσκήσει τὸ πρότερον λαμπρυθέντα, καὶ ἐν ἀθλήσει τὸν δεύτερον φαιδρυθέντα, πάντες ὡς φωστῆρα σὲ φαιδρότερον Λουκιανὲ τοῖς ὕμνοις, ἐνδόξως σὲ γεράρωμεν, πρεσβεύων μὴ παύσης, ὑπὲρ πάντων ἡμῶν.

Μεγαλυνάριον.

Τοὺς Ἱερομάρτυρος τοῦ Χριστοῦ, Λουκιανὸν τὸν θεῖον, Ἀν-

*Γεώργιος Α. Βουτέρης*
*Ἱερεὺς*



τιόχου τὴν καλλονήν, τὸν Βάρσου τῆς Ἐδέσσης, Σαβῖνον τῆς Περσίας, ὑπὲρ ἡμῶν Κυρίῳ ἀεὶ πρεσβεύοντας.

Κοινωνικόν.

Εἰς μνημόσυνον αἰώνιον ἔσονται δίκαιοι. Ἀλληλούϊα

---

**16 Ὀκτωβρίου. Τοῦ Ἁγίου μάρτυρος Λογγίνου τοῦ Ἑκατοντάρχου καὶ τῶν Ἁγίων 2 μαρτύρων τῶν συναιρεθέντων τῷ Ἁγίῳ Λογγίνῳ.**

Ἀπολυτίκιον Ἦχος Α'.

Τὸν πρὶν ἐν σκότει τῆς ἀγνωσίας κρατούμενον, καὶ ἐν τῇ Σταυρώσει τοῦ Κτίστου φρικτὰ καὶ ἐξαίσια κατιδόντα τὸ φῶς ἐκδεξάμενον, Υἱὸν Θεοῦ ὡμολόγησε τὸν κρυπτόμενον, ὁ ἀοίδιμος μάρτυς Λογγῖνος· διὸ καὶ κήρυξ τῆς Ἀναστάσεως αὐτοῦ ἐγένετο μέχρι θανάτου. Πάντες οὖν των μαρτύρων ἐρασταί, συνελθόντες ὕμνοις τιμήσωμεν, Χριστω γὰρ ἱκετεύει ὑπὲρ ἡμων ἀεὶ δεόμενος.

Κοντάκιον Ἦχος Δ'. Ἐπεφάνης.

Εὐφροσύνως γέγηθεν ἡ Ἐκκλησία, ἐν τῇ μνήμῃ σήμερον τοῦ ἀοιδίμου ἀθλητοῦ Λογγίνου ἀνακράζουσα, σὺ μου τὸ κράτος Χριστὲ καὶ στερέωμα.

Μεγαλυνάριον

Λογγῖνον τὸν μέγαν καὶ θαυμαστὸν σὺν συστρατιώταις, μαρτυρήσαντες εὐσεβῶς, ὡς φύλακες τοῦ τάφου, Ἀνάστασιν Κυρίου, Ρωμαίους Ἀποστόλους, ὑπὲρ ἡμων ἀεὶ πρεσβεύοντας.

Κοινωνικὸν

Εἰς πᾶσαν τὴν γῆν ἐξῆλθεν ὁ φθόγγος αὐτοῦ, καὶ εἰς τὰ πέρατα τῆς οἰκουμένης τὰ ῥήματα αὐτοῦ.
Ἀλληλούϊα

*Γεώργιος Α. Βουτέρης*
*Ἱερεὺς*

ΓΕΝΝΑΔΕΙΟΣ ΒΙΒΛΙΟΘΗΚΗ ΔΩΡΗΤΟΡΗΣ ΠΑΠΑΣΤ

**Πρὸς τοὺς Σεβαστοὺς ἐν Κυρίῳ ἀδελφοὺς ἡμῶν.**

**Χαίρειν.**

Χάριτι θείᾳ μετὰ μεγάλων κόπων, καὶ ἀγώνων, ἤλθομεν καὶ εἰς τὴν ἔκδοσιν τῆς πολυτίμου καὶ σπανίας Ἀκολουθίας τοῦ θείου καὶ Ἱεράρχου Πατρὸς ἡμῶν προστάτου καὶ ποιμενάρχου τῆς πόλεως καὶ πρωτευούσης τοῦ Βασιλείου τῆς Ἑλλάδος Ἁγίου μας Διονυσίου τοῦ Ἀρεοπαγίτου καὶ πρώτου Ἐπισκόπου Ἀθηνῶν.

Ἐπειδὴ δυστυχῶς τὰ Μηναία δὲν ἔχουν ἀκολουθίαν, ἦτο ἀνάγκη νὰ γείνῃ ἔκδοσις τοῦ τοιούτου ἔργου πρὸς τιμὴν καὶ δόξαν τοῦ Ἁγίου.

Βιβλίον καλούμενον Ἄνθη τοῦ Παραδείσου, ἀπὸ ἐκεῖ ἐρράνισθην τὴν ἔκδοσιν ταύτην, ὡς καὶ ἄλλων Ἁγίων εὑρισκόμενων εἰς χεῖράς μου, καὶ τὰ λοιπὰ ἐξ ἄλλων ἀκολουθιῶν, διὰ νὰ εὑρίσκωνται ὅλα ὁμοῦ εἰς ἕνα βιβλίον, Καταβασίαι, Εὐαγγέλια, Ἀπόστολος, Μεγαλυνάρια, καὶ Θεοτοκία τῆς Ἁγίας Σκέπης τῆς Θεοτόκου, ἑορταζούσης τὴν 1 Ὀκτωβρίου, νὰ συμψάλλωνται ὁμοῦ πρὸς τιμὴν τῆς Μητρὸς τοῦ Κυρίου.

Δεχθῆτε τὸ μικρόν μου τοῦτο ἔργον καὶ εὔχεσθε εἰς τὸν Κύριον, ὑπὲρ τῆς ψυχικῆς μου σωτηρίας.

Εὑρίσκονται παρ' ἐμοὶ αἱ ἑξῆς ἀκολουθίαι μόνον μὲ τὴν Τυπογραφικὴν των ἀξίαν. Ἁγ. Ἰσιδώρου Ἀντύπα Ἐπι. Περγάμου, Θεοκτίστης τῆς Λεσβίας. Φωτεινῆς Μυρτιδιοτίσσης Παρασκευῆς Ἁγ. Νικολάου, Ἁγίου Ἱεροθέου, Ἀθηνῶν, Ἁγίου Πολυκάρπου Ἁγ. Στυλιανοῦ. Τῆς Ἀναστάσεως τοῦ Κυρίου.

Καὶ βίοι ἐκ τοῦ Νέου θησαυροῦ τῆς Βενετίας 1839. καὶ ἄλλων πολλῶν, καὶ διαφόρων Ἁγίων, πάντα ταῦτα δύνασθε νὰ προμηθευτεῖτε ἐκ τῆς οἰκίας μου κειμένης ἐπὶ τῶν ὁδῶν Ἁγ. Μελετίου Ἀρ. 25, καὶ Μιχαὴλ Βόδδα (γωνία).

**Ὁ ἐλάχιστος ἐν Ἱερεῦσι**
**Γεώργιος Α. Βουτέρης Ἱερεὺς**
**καὶ Πνευματικὸς Ἐφημέριος Ὁσίου Μελετίου.**
**Πνευματικὸν τέκνον τοῦ ἀειμνήστου Γερμανοῦ Καλλιγᾶ,**
**Μητροπολίτου Ἀθηνῶν, τὸ ἔτος 1891.**